ACADEMIA SCIENTIARVM GERMANICA
BEROLINENSIS

---

# BIBLIOTHECA
## SCRIPTORVM GRAECORVM ET ROMANORVM
## TEVBNERIANA

EDITA CONSILIO ATQVE AVCTORITATE
INSTITVTI
GRAECOROMANAE ANTIQVITATIS
STVDIIS COLENDIS DESTINATI



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXI

# SEXTI EMPIRICI
# OPERA

REC.

HERMANNVS MVTSCHMANN †

VOL. III

## ADVERSVS MATHEMATICOS

LIBROS I-VI CONTINENS

ITERVM ED.

J. MAU



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXI

BIBLIOTHECAE TEVBNERIANAE

HVIVS TEMPORIS

REDACTOR: JOHANNES IRMSCHER

HOC VOLVMEN IMPRIMENDVM

CVRAVIT BRVNO DOER

ES 7M

LIZ.-NR. 294 · 375 / 16 / 61

PRINTED IN THE DEMOCRATIC GERMAN REPVBLIC

LIPSIAE: TYPIS B. G. TEVBNERI (III / 18 / 154) · 1427

IOANNIS STROUX

IN MEMORIAM

# PRAEFATIO

Quamquam post tot annos tertium volumen huius editionis nunc demum in lucem prodiit, tamen ea, quae Mutschmann praecedentibus duobus voluminibus praefatus est, iterare necessarium esse non videtur. — Pauci sunt, qui hisce libris emendandis operam dederunt, praeter eos, qui fragmenta poetarum philosophorumque coluerunt. Qui cum sint permulti, ex apparatu critico, ne justo amplior fieret, multa ad haec pertinentia seclusi collectionibus recentissimis fragmentorum, ubi haec quaeras, semper laudatis. Ut autem nihilo minus variarum lectionum, imprimis ad librum, qui inscribitur "Adv. grammaticos", tantam molem adderem, ea re adductus sum, quod lectoribus non solum res philosophicas, sed etiam res grammaticas et orthographicas praebere mihi propositum erat. Itaque interdum non dubitavi etiam itacismos aliasque huiusmodi res, ut *αι* pro *ε*, *εβ* pro *ευ*, *ω* pro *ο* et vice versa, necnon accentus et spiritus mutatos afferre; quae ubi quaeras, nisi in eo libro, in quo talia tractantur?

Codices (v. infra consp. siglorum) N L E D A B V $S_1$ $S_2$ lucis ope depictos atque codicem B ipsum contuli, reliquorum autem (Vr C* R) varias lectiones ex editione Immanuelis Bekker haustas interdum afferre mihi sufficere visum est.

Translatio Latina et codex Monacensis et codex N, librorum M VII—XI vetustissimus testis, (explicit post XIV huius voluminis paginas M I § 64), ad textum sanandum aptissimae medicinae, hic nos deficiunt, quae res eo magis dolenda est, quod non habemus, unde co-

*) Codice C ipso inspecto certior factus sum collationibus Immanuelis Bekker merito nos niti.

dices S miscellaneos derivemus. Codices $S_1$ (Laur. 9, 32) et $S_2$ (Laur. 59, 17) in nostro libro V consanguineos esse ex eo apparet, quod frequenter contra omnes ceteros codd. consentiunt, et cum saepius meliori familiae Y (vide infra stemma codicum) quam recentioribus ς adsistant, membra autem istius familiae non sint, concludere licet eos haud procul ab archetypo G ortos esse. Quod sane me conicere confiteor. Argumento esse posset solus N, si librum Adv. astrol. nobis traderet. Codices S tamen, quotiens potui, in libro V Adv. astrologos, quem solum ex Sexti operibus continent, emendando secutus sum. Codices enim hunc ad modum inter se cohaerere haud procul a vero mihi videtur, quod editiones singularium partium, velut Pyrrh. hyp., praeter integri operis traditionem ab antiquis temporibus extitisse iam dudum constat. Qua de causa etiam codicem Laur. 85, 23 (D) conferre constitui, qui haud secus extra corpus omnium librorum ad nos pervenit. Sed spes me fefellit. Mox enim apparuit eum nullo alio intercedente e codice Paris. 1964 (E) effluxisse, quod non modo innumerabilibus communibus vitiis, sed etiam verbis (p. 60, 25), quae unam lineam codicis E complectuntur, in D omissis ostenditur. Itaque plerisque variis lectionibus eius solius propriis exclusis eas tantum admisi, quibus dubiae lectiones codicis E pretiosissimi affirmantur.

Duobus viris de Sexti Empirici memoria optime meritis Hermanno Mutschmann et Guernhero Heintz morte atrocissima nobis ereptis H. J. Mette editionem perficiendam suscepit, iam perfectum autem manuscriptum incendio belli haustum questus est. Destructum opus renovare negotia eum vetuerunt, qua de causa Ioannes Stroux, Academiae Scientiarum Berolinensis tunc praeses, hoc munere fungi me iussit.

H. J. Mette, quod schedas diligentissime perlegit, collegisque instituti Academiae Berolinensis ad investigandam philosophiam Hellenistico-Romanam conditi, qui in codicibus excutiendis me adiuverunt, imprimis Emiliae Boer, quae testimoniorum libro V additorum numerum liberaliter auxit, et Carolo Janáček, qui

uberrimos indices summa sagacitate collectos adiecit, gratiae maximae mihi sunt agendae. Richardo Harder autem, quantum debeam, facile cognosces; quicumque enim apparatum criticum inspiciet, plurimas emendationes, quas ille plagularum marginibus adscriptas mihi suppeditavit, in apparatu critico notatas et in textum receptas inveniet.

Scr. Berolini mense Augusto

MCMLIV J. MAU

## IN ALTERAM EDITIONEM PRAEFATIO

Hoc volumen, postquam omnia exemplaria tempore satis brevi venierunt, altera vice in lucem prodire non licet nisi omnibus bonis, quae viri docti critici, praecipue Theiler, De Lacy, De Vogel, Westerink (v. infr.) opus meum clementer examinantes attulerunt, ornatum.

Vitia quaedam in codice Laurentiano N conferendo a me commissa, quorum De Lacy me convinxit, erubescens confiteor, qua de causa hunc codicem totum, ceteros interdum, iterum contuli. correcturas permultas, quibus Theiler et De Vogel Sexti libros sanaverunt vel sanare haud male conati sunt, grato animo recepi.

Restat, ut de duobus locis aliquid agam, in quibus emendandis explanandisque Guilelmo Theiler duce multum operae laborisque consumpsi.

Sub versibus elegicis M I 316 non actionem mythicam, quod adhuc omnes putaverant, sed invectivam in virum quendam cinaedum contortam latere Theiler mihi persuasit. itaque nunc elegiam vel potius elegiae partem veteribus conjecturis probatis hunc ad modum legendam et interpretandam censeo:

*ἦ γάρ σοι δισσοῖσιν ὑπ' οὔρεσι δεττὸς ἐρασταής*
tibi enim sub ambobus montibus[1]) gemini amatores[2])

1 'montes' metaph. pro 'nates' || 2 scil. testiculi

*ἔφθιτο καὶ νεάτην μοῖρ' ἀνέθηκε φύσιν.*
perierunt[1]) et postrema fatum posuit pudenda.[2])
*ἄρθρῳ ἐν ἀσπιδόεντι βεβηκότα γυῖα καθ' ὁλμοῦ*
in articulo, qui scuto tegitur[3]), euntia[4]) crura sub trunco
*βαῖα τροχαντήρων ἄχρι περιστρέφεται.*
sensim usque ad capita femoris torquentur[5]).
*σμερδαλέαι δ' ὑπένερθεν ἀλώπεκες ἀμφὶ δοχαίης*
infra (sunt) tumidi[6]) glutei[7]) circum[8]) receptaculum
*αἰῶνος χαλαρᾶς σύνδρομοι ἁρμονίης.*
vitae languidae[9]) harmoniae concursores.

De illo loco obscurissimo, cui iam librarius codicis vetustissimi mederi frustra conatus est, dissertatiunculam conscripturus sum, quam alicubi impressum iri spero. tres lectiones variae nobis traditae sunt, scil. codicis N textus, cui reliquos libros manu scriptos illis temporibus superstites, nunc perditos, assentire scholium nos docet, et scholiastae N et librorum recentiorum coniecturis mutata oratio. nullius autem verba legibus artis dialecticae, quam solam hic imperare statim videbis, oboediunt, Sextum autem ipsum artis dialecticae peritissimum fuisse pagina quavis inspecta tibi persuadebis. itaque fieri non potest, ut Sextus ipse verba uni ex supradictis lectionibus paria vel similia conscripserit, et quaerendum nobis est, qua ratione interpolator quidam Sexti verba olim mutaverit posterioresque melius petentes peius assecuti sint. locum nostrum et cum locis parallelis comparatum et praeceptis artis dialecticae accommodatum nullo modo nisi ferro acuto sanare potui. Haec omnia dissertatione illa explanata invenies, cuius ne plura hic tantum conclusionem afferam. itaque legendum esse puto: MI 12 (601, 30 Bekk. = 4,9 Mau) *ἔτι δ'[οὐδ'] ὡς ἀληθὲς τὸ μὴ ὂν ἔστιν· [οὔτε γὰρ τῶν μὴ ὄντων ἐστὶ τἀληθὲς οὔτε τι ἀλη-*

1 cf. Caelius Aurel. Morb. chronic. IV 9 || 2 cf. Anthol. Gr. IV 117 Brunck: '*ἀνέρας ἠρνήσαντο καὶ οὐκ ἐγένοντο γυναῖκες*' || 3 i. e. articulus genus || 4 cf. [Aristot.] Physiogn. 808a 14. Iuvenal. II 16: morbum incessu fatetur || 5 cf. Catull. 16, 11 || 6 *σμ.* an = horrentia? Manil. V 151 pro 'pilosa' || 7 *ἀλώπ.* etiam *ὄρχησίς τις* Hesych. s. v. || 8 *πυγαὶ ἀλλήλαις περιήγεες εἰλίσσοντο* Rufin. Anth. Palat. V 59 vol. I 106 Stadtmüller, de puella || 9 Plato Rep. 398e. v. supr. 7

*θὲς ὡς μὴ ὂν διδακτόν ἐστιν.*] ⟨(13 Mau = 602, 3-5 Bekk) *ἤτοι γὰρ τὸ διδασκόμενον ψεῦδός ἐστιν ἢ ἀληθές. ἀλλὰ ψεῦδος μὲν ἀλογώτατον, τὸ δὲ ἀληθὲς ὂν ὑπῆρχεν. οὐκ ἄρα τὸ μὴ ὂν διδακτόν*⟩. *ἔτι δὲ εἰ τὸ μὴ ὂν διδάσκεται, οὐδὲν ἀληθὲς διδάσκεται·* (ex M XI 221 = 589, 10–11 Bekk. pro corruptis illis '*εἰ δὲ καὶ μηδέν ἀληθές, εἴπερ διδακτόν ἐστιν* 601, 32 Bekk. = 4, 11–12 Mau) *τῶν γὰρ ὄντων ἐστὶ τὸ ἀληθές.* [*ἀδίδακτον ἄρα τὸ μὴ ὄν, μηδ' ἀληθὲς διδάσκεται*] *εἰ δὲ μηδὲν ἀληθὲς διδάσκεται, πᾶν τὸ διδασκόμενον ψεῦδός ἐστιν, ὅπερ ἀλογώτατον ὑπάρχει. οὐ τοίνυν τὸ μὴ ὂν διδάσκεται.*

Lector quidam in prima sententia supra excerpta non intellexit verbum *εἶναι* idem significare ac illud 'existere'. itaque vocabulum *οὐδ'* interpolavit sententiam haud falsam neque contextui prorsus alienam, e sequentibus autem nullo modo concludendam, finxit. – noli oblivisci Sextum persaepe conclusionem primam, deinde proposita voce *γάρ* addita exprimere. – itaque ab eodem vel alio quodam nova demonstratio et a Sexti demonstrandi more et a legibus artis dialecticae abhorrens, hominibus autem arte logica mediocriter imbutis satis probabilis, substituta est genuinis verbis in margine additis, quae nunc in extrema argumentatione legimus. non defuerunt, qui hanc demonstrationis partem hiare cognoverint et sequentia, ut demonstrationi succurrerent, mutaverint.

Si quis dicat, tales corruptelas a Sexti textu alibi perlucido aliena esse, editionem alteram primi voluminis quaeso evolvat. ibi enim videbit sententiam fere quamlibet, quo latius a sensuum perceptione absit difficiliorque intellectu sit, eo magis et scribarum neglegentia et interpolatorum libidine vitiis affectam esse.

Editionis criticae non est textum ab omnibus huiusmodi vitiis purgatum praebere, spero autem eos, qui chirurgi munus suscipient, omnia instrumenta medicinasque hoc in volumine deposita inventuros esse.

Ex hoc tertio volumine, ne commodi facilisque ponderis finem transeamus, alteram indicum editionem Caroli Janáček exclusimus, qui quarto, quod iam praeparatur, volumine continebuntur.


Laudantur hae editionis primae recensiones:

De Lacy = Phoenix 10, 1956, 36–37
Theiler = Gnomon 28, 1956, 282–288
De Vogel = Museum (Leiden) 63, 1958, 14–16
We. = Westerink in: Mnemosyne, Serie IV, 8, 1955, 328–331

Berolini anno MCMLXI ineunte

I. MAU

## Stemma codicum




## Conspectus siglorum

### a) Codices

| Sigla | | | |
|---|---|---|---|
| N | = Laur. 85, 19 chart. s. XIII/XIV. solas pg. 599—613 Bekk. continet. cf. praef. in vol. II, VI. | | G |
| L | = Laur. 85, 11 chart. an. 1465. | y | G |
| Vr | = Vratislavensis Rehdigeranus 45 chart. s. XV ex. | y | G |
| E | = Paris. 1964 chart. s. XV ex. | y | G |
| D | = Laur. 85, 23 s. XVI init. continet PH et M I-II. | y | G |
| A | = Paris. 1963 chart. an. 1534. | ς | G |
| B | = Berol. Phil. 1518 chart. an. 1542. | ς | G |
| V | = Venetus Marc. membr. 262 (408) s. XV ex. | ς | G |
| C | = Cicensis chart. an. 1556. | ς | G |
| R | = Regimontanus 16 b 12 membr. s. XV. | ς | G |
| $S_1$ | = Laur. 9, 32 chart. an. fere 1342. commentario perpetuo ornatus. | S — solum M V continent. | G |
| $S_2$ | = Laur. 59, 17 chart. an. fere 1410. | S — solum M V continent. | G |

mg. cod. ed. Gen. = marginalia codicis quem editores Genevenses depinxerunt. v. ab initio editionis Genevensis 1621.

### b) Editiones

Gen. = Sext. Emp. opera Graece primum ed. sumptibus Petri et Jacobi Chouet, Genevae 1621. Addita est:
Herv. = translatio Latina Gentiani Herveti.
Fabr. = Sext. Emp. opera Graece et Latine. Emendavit supplevitque et toti operi notas addidit J. A. Fabricius, Lipsiae 1718.
Bekk. = Sext. Emp. ex recensione Immanuelis Bekkeri, Berolini 1842.
Bury = Sext. Emp. with an English transl. by R. G. Bury, vol. IV, London & Cambridge Mass. 1949. (Loeb. Cl. Libr.).

### c) Dissertationes

Brochard = Victor Brochard, les sceptiques Grecs, Paris 1923.
Crönert = Wilhelm Crönert, Kolotes und Menedemos = Studien zur Paläographie und Papyruskunde VI, Leipzig 1906.
Haas = Lorenz Haas, Progr. Burghausen 1881/2. Progr. Berlin 1874. Progr. Freising 1893.
Harder = Richardus Harder, v. praef.
Heintz = Werner Heintz, Studien zu Sext. Emp., Halle 1932. = Schr. d. Königsbg. gel. Ges. Sd.-Reihe Bd. 2.
Kayser = L. Kayser, Beiträge zur Erklärung und Kritik d. Sext. Emp., Philol. 4, 1849, 48.
Kochalsky = Arthurus Kochalsky, de Sext. Emp. adv. Logicos libris quaestiones criticae, diss. Marb. 1911.
Mette = Cratetis Pergameni (Mallotae) fragmenta, ex quibus fr. 1—51 reperiuntur apud H. J. Mette, Sphairopoiia, München 1936, et fr. 52—86 in eiusdem libro, qui inscribitur Parateresis, Halle 1952.
Nebe = A. Nebe, Textkr. z. d. Buche des Sext. Emp. adv. astrol., Rh. Mus. 71 '16, 102—116.
Pappenheim = Eug. Pappenheim, de Sext. Emp. librorum numero et ordine, Progr. Berlin 1874.
Robbins = F. E. Robbins, Poseidonius and the sources of Pythagorean arithmology, Class. Phil. 15 '20, 309 u. ad 322.
Shorey = Paul Shorey, de Sext. Emp. adv. gramm. 126, Class. Philol. 10 '15, 218—219.
= de adv. mus. 21, Class. Phil. 11 '16, 99.
Usener = Hermann Usener, variae lectionis spec. I, Kl. Schr. I, 345.
Wilam. = de Wilamowitz-Moellendorff, Coniectanea, Progr. Gött. 1884.

cetera v. praef. alt.

# *ΠΡΟΣ ΜΑΘΗΜΑΤΙΚΟΥΣ*

*ed. Bekk.*
*p. 599* *Τὴν πρὸς τοὺς ἀπὸ τῶν μαθημάτων ἀντίρρησιν κοινό-*
*τερον μὲν διατεθεῖσθαι δοκοῦσιν οἵ τε περὶ τὸν Ἐπίκου-*
*ρον* (fr. 227 Us.) *καὶ οἱ ἀπὸ τοῦ Πύρρωνος, οὐκ ἀπὸ τῆς*
*αὐτῆς δὲ διαθέσεως, ἀλλ' οἱ μὲν περὶ τὸν Ἐπίκουρον ὡς*
5 *τῶν μαθημάτων μηδὲν συνεργούντων πρὸς σοφίας τελεί-* 5
*ωσιν, ἤ, ὥς τινες εἰκάζουσι, τοῦτο προκάλυμμα τῆς ἑαυ-*
*τῶν ἀπαιδευσίας εἶναι νομίζοντες (ἐν πολλοῖς γὰρ ἀμα-*
*θὴς Ἐπίκουρος* (p. 89, 30 Us.) *ἐλέγχεται, οὐδὲ ἐν ταῖς*
*κοιναῖς ὁμιλίαις καθαρεύων), τάχα δὲ καὶ διὰ τὴν πρὸς* 2
10 *τοὺς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη καὶ τοὺς ὁμοίους* 10
*δυσμένειαν πολυμαθεῖς γεγονότας· οὐκ ἀπέοικε δὲ καὶ*
*διὰ τὴν πρὸς Ναυσιφάνην* (A 7 Diels) *τὸν Πύρρωνος*
*ἀκουστὴν ἔχθραν· πολλοὺς γὰρ τῶν νέων συνεῖχε καὶ*
*τῶν μαθημάτων σπουδαίως ἐπεμελεῖτο, μάλιστα δὲ ῥη-*
15 *τορικῆς· γενόμενος οὖν τούτου μαθητὴς ὁ Ἐπίκουρος* 3
*ὑπὲρ τοῦ δοκεῖν αὐτοδίδακτος εἶναι καὶ αὐτοφυὴς φιλό-* 16
*σοφος ἠρνεῖτο ἐκ παντὸς τρόπου, τήν τε περὶ αὐτοῦ*
*φήμην ἐξαλείφειν ἔσπευδε, πολύς τε ἐγίνετο τῶν μαθη-*
*μάτων κατήγορος, ἐν οἷς ἐκεῖνος ἐσεμνύνετο. φησὶ* 4
(fr. 114 Us.) *γοῦν ἐν τῇ πρὸς τοὺς ἐν Μυτιλήνῃ φιλο-* 20
20 *σόφους ἐπιστολῇ 'οἶμαι δὲ ἔγωγε τοὺς βαρυστόνους καὶ*
*μαθητήν με δόξειν τοῦ πλεύμονος εἶναι, μετὰ μειρακίων*

*σέξτου ἐμπειρικοῦ ὑπομνημάτων τὸ πρῶτον πρὸς τοὺς μαθημα-τικούς* tit. N || **1** *ἀντέρρησιν* N || **2** *διατίθεσθαι* N || **4** *δὲ* om. LVr | *ἀλλ' εἰ μὲν* NL: *ἄλλός μὲν* D || **6** *εἰσάξουσι* N || **7** *πολλῆς* (οι *suprascr.*) L || **7.8** *ἐπίκουρος ἀμαθὴς* ED || **9** *καθαίρων* N | *διὰ τὸν* VC || **10** *ὁμοίως* D || **12** *ναυσιφάνη* NELVr: *ναισιφάνη* D | *πύρρων* N || **13** *ἐχθρὸν* N || **16** *ὑπὲρ τὸ* D | *φιλόσοφος* om. Crönert (lapsu calami?) || **18** *ἔσπουδε* L | *πολὺς οὖν ἐγένετο* N || **20** *μυτυλήνη* N: *μιτυλήνη* LEABVRVr || **21** *τοὺς ἐξαριστόνους*(?) N || **22** *δοξάζειν* Crönert | *πνεύμονος* AB: *πλεύμονος* R | *μειχίων* D

599

τινῶν κραιπαλώντων ἀκούσαντα', νῦν πλεύμονα καλῶν
τὸν Ναυσιφάνην ὡς ἀναίσθητον· καὶ πάλιν προβὰς πολλά
τε κατειπὼν τἀνδρὸς ὑπεμφαίνει τὴν ἐν τοῖς μαθήμασιν
αὐτοῦ προκο|πὴν λέγων 'καὶ γὰρ πονηρὸς ἄνθρωπος ἦν 600
5 καὶ ἐπιτετηδευκὼς τοιαῦτα ἐξ ὧν οὐ δυνατὸν εἰς σοφίαν
5 ἐλθεῖν', αἰνισσόμενος τὰ μαθήματα. πλὴν ὁ μὲν Ἐπίκου-
ρος, ὡς ἄν τις εἰκοβολῶν εἴποι, ἀπὸ τοιούτων τινῶν
ἀφορμῶν πολεμεῖν τοῖς μαθήμασιν ἠξίου, οἱ δὲ ἀπὸ 5
Πύρρωνος οὔτε διὰ τὸ μηδὲν συνεργεῖν αὐτὰ πρὸς σοφίαν,
10 δογματικὸς γὰρ ὁ λόγος, οὔτε διὰ τὴν προσοῦσαν αὐτοῖς
ἀπαιδευσίαν· σὺν γὰρ τῷ πεπαιδεῦσθαι καὶ πολυπειροτέ-
ρους παρὰ τοὺς ἄλλους ὑπάρχειν φιλοσόφους ἔτι καὶ
6 ⟨ἀ⟩διαφόρως ἔχουσι πρὸς τὴν παρὰ τοῖς πολλοῖς δόξαν· καὶ 10
μὴν οὐδὲ δυσμενείας χάριν τῆς πρός τινας (μακρὰν γὰρ
15 αὐτῶν τῆς πρᾳότητός ἐστιν ἡ τοιαύτη κακία)· ἀλλὰ τοι-
οῦτόν τι ἐπὶ τῶν μαθημάτων παθόντες ὁποῖον ἐφ' ὅλης
ἔπαθον τῆς σοφίας. καθὰ γὰρ ἐπὶ ταύτην ἦλθον πόθῳ
τοῦ τυχεῖν τῆς ἀληθείας, ἰσοσθενεῖ δὲ μάχῃ καὶ ἀνω- 15
μαλίᾳ τῶν πραγμάτων ὑπαντήσαντες ἐπέσχον, οὕτω καὶ
20 ἐπὶ τῶν μαθημάτων ὁρμήσαντες ἐπὶ τὴν ἀνάληψιν αὐτῶν,
ζητοῦντες καὶ τὸ ἐνταῦθα μαθεῖν ἀληθές, τὰς δὲ ἴσας
7 εὑρόντες ἀπορίας, οὐκ ἀπεκρύψαντο. διόπερ καὶ ἡμεῖς
τὴν αὐτὴν τούτοις ἀγωγὴν μεταδιώκοντες πειρασόμεθα 20
χωρὶς φιλονεικίας τὰ πραγματικῶς λεγόμενα πρὸς αὐτὰ
25 ἐπιλεξάμενοι θεῖναι.

Τὸ μὲν οὖν διδάσκειν ἀπὸ τίνος ἐγκύκλια προσηγόρευ-
ται μαθήματα καὶ πόσα τὸν ἀριθμόν ἐστι, περιττὸν
ἡγοῦμαι, ἱκανὴν ἤδη τὴν περὶ τούτων ἔχοντας κατήχη- 25

**1** *κραιπαλῶντος* Crönert: *κρα*, sequitur lacuna 9 litt. N | *πνεύμονα* AB: *πλεύμονα* R || **2** *ναυσιφάνη* NED || **2.3** *πολλὰ δὲ* Gen. Fabr. || **3** *ὑπεφαίνει* L || **4** *παρακοπὴν* Crönert | an *πόρνης ἄνθρωπος* Epicurus scripserit Crönert dub. || **5** *ταῦτα* N | *δύναται* N || **7** *εἰκονοβολῶν* AB *εἰκὸβολῶν* R corr. | *τινῶν* om. N a. c. || **11** *πολυπειρότεροι* coni. Bekk. Bury || **13** *ἀδιαφόρως* Bekk.: *διαφόρως* G || **17** *σοφίας* N: *φιλοσοφίας* cett. || **18** *μάχῃ καὶ* N: *μάχης* cett. recte coniecerat Bury || **19** *ὑπαντήσαντες* — 20 *μαθημάτων* om. N mg. suppl. || **20** *ἀντίληψιν* N || **21** *τὸ* om. N || **22** *οὐ κατεκρύψαντο* D || **24** *αὐτὰ* fort. N, ci. Bekk.: *αὐτοὺς* cett. || **28** ⟨*πρὸς*⟩ *ἱκανὴν* Bekk.

σιν γινομένης ἡμῖν τῆς διδασκαλίας. ὃ δέ ἐστιν ἀναγκαῖον 8
ἐπὶ τοῦ παρόντος, ὑποδεικτέον ὅτι τῶν λεγομένων πρὸς
τὰ μαθήματα τὰ μὲν καθολικῶς λέγεται πρὸς πάντα τὰ
30 μαθήματα, τὰ δὲ ὡς πρὸς ἕκαστα, καὶ καθολικώτερον μὲν
τὸ περὶ τοῦ μηδὲν εἶναι μάθημα, ἰδιαίτερον δὲ πρὸς μὲν 5
601 γραμματικούς, εἰ τύχοι, περὶ τῶν τῆς λέξεως στοι|χείων,
πρὸς δὲ γεωμέτρας περὶ τοῦ μὴ δεῖν ἐξ ὑποθέσεως λαμ-
βάνειν τὰς ἀρχάς, πρὸς δὲ μουσικοὺς περὶ τοῦ μηδὲν
εἶναι φωνὴν μηδὲ χρόνον. ἴδωμεν δὲ τάξει πρῶτον τὴν
καθολικωτέραν ἀντίρρησιν. 10

## Εἰ ἔστι μάθημα

5 Τὴν μὲν οὖν γενομένην παρὰ τοῖς φιλοσόφοις περὶ 9
μαθήσεως διαφωνίαν πολλὴν καὶ ποικίλην οὖσαν οὐ τοῦ
παρόντος ἐστὶ καιροῦ ἐπικρίνειν· ἀπόχρη δὲ παραστῆσαι
ὡς εἴπερ ἔστι τι μάθημα καὶ τοῦτο ἀνυστὸν ἀνθρώπῳ,
τέσσαρα δεῖ προομολογήσασθαι, τὸ διδασκόμενον πρᾶγμα, 15
10 τὸν διδάσκοντα, τὸν μανθάνοντα, τὸν τρόπον τῆς μαθή-
σεως. οὔτε δὲ τὸ διδασκόμενον ἔστιν οὔτε ὁ διδάσκων
οὔτε ὁ μανθάνων οὔτε ὁ τρόπος τῆς μαθήσεως, καθάπερ
ὑποδείξομεν· οὐκ ἄρα ἔστι τι μάθημα.

## Περὶ τοῦ διδασκομένου

Καὶ δὴ περὶ τοῦ πρώτου λέγοντες πρῶτόν φαμεν ὡς 10
15 εἴπερ διδάσκεταί τι, ἤτοι τὸ ὂν τῷ εἶναι διδάσκεται ἢ τὸ 21
μὴ ὂν τῷ μὴ εἶναι. οὔτε δὲ τὸ ὂν τῷ εἶναι διδάσκεται
οὔτε τὸ μὴ ὂν τῷ μὴ εἶναι, καθάπερ παραστήσομεν· οὐκ
ἄρα διδάσκεταί τι. καὶ δὴ τὸ μὴ ὂν τῷ μὴ εἶναι οὐκ ἂν
20 διδάσκοιτο· εἰ γὰρ διδάσκεται, διδακτόν ἐστι, διδακτὸν 25
δὲ καθεστὼς τῶν ὄντων γενήσεται, καὶ διὰ τοῦτο ἔσται 11

§ 9 ~ M XI 218 ~ PH III 252 || 10—11 ~ M XI 219, cf. PH III 256

4 τὰ δὲ ὡς G: τὰ δ' ἰδίως Bury || 11 οὖν om. N || 14 τι om. ED || 20 ἀόν in marg. E || 22 δὲ om. N || 23 μὴ alt. om. D || 24 διδάσκονταί A | τὸ ⟨μὲν⟩ μὴ ὂν Bekk. | post εἶναι add. διδάσκεται B corr. || 26 καθεστὸς N: καθεστῶς LE | ἔσται LEDς: ἄρα N: fortasse ἅμα

μὴ ὄν τε καὶ ὄν· οὐχὶ δέ γε δυνατόν ἐστι τὸ αὐτὸ καὶ
ὄν τε καὶ μὴ ὂν ὑπάρχειν: οὐκ ἄρα τὸ μὴ ὂν τῷ μὴ εἶναι
διδάσκεται. τῷ τε μὴ ὄντι οὐδὲν συμβέβηκεν, ᾧ δὲ
μηδὲν συμβέβηκεν, οὐδὲ τὸ διδάσκεσθαι συμβήσεται· 25
5 ἕν γάρ τι ἦν τῶν συμβεβηκότων καὶ τὸ διδάσκεσθαι·
12 τοίνυν οὐδὲ ταύτῃ διδακτόν ἐστι τὸ μὴ ὄν. καὶ μὴν τὸ
διδασκόμενον φαντασίαν κινοῦν εἰς μάθησιν ἡμῖν ἔρχεται,
τὸ δὲ μὴ ὂν ἀδυνατοῦν φαντασίαν κινεῖν οὐδὲ διδακτόν
ἐστιν. ἔτι δὲ οὐδ' ὡς ἀληθὲς τὸ μὴ ὄν ἐστιν. οὔτε γὰρ τῶν 30
10 μὴ ὄντων ἐστὶ τἀληθὲς οὔτε τι ἀληθὲς ὡς μὴ ὂν διδακτόν
ἐστιν. εἰ δὲ καὶ μηδὲν ἀληθές, εἴπερ διδακτόν ἐστιν, τῶν
γὰρ ὄντων ἐστὶ τὸ ἀληθές, ἀδίδακτον ἄρα τὸ μὴ ὄν.
13 μηδ' ἀληθὲς διδάσκεται. εἰ δὲ μηδὲν ἀληθὲς διδάσκε- 602
ται, πᾶν τὸ διδασκόμενον ψεῦδός ἐστιν· ὅπερ ἀλογώτατον
15 ὑπάρχει. οὐ τοίνυν τὸ μὴ ὂν διδάσκεται. ἤτοι γὰρ τὸ
διδασκόμενον ψεῦδός ἐστιν ἢ ἀληθές. ἀλλὰ ψεῦδος μὲν
ἀλογώτατον, τὸ δὲ ἀληθὲς ὂν ὑπῆρχεν. οὐκ ἄρα τὸ μὴ 5
14 ὂν διδακτόν. καὶ μὴν οὐδὲ τὸ ὂν τῷ εἶναι διδακτόν ἐστιν,
ἐπειδήπερ τῶν ὄντων πᾶσι φαινομένων ἐπ' ἴσης πάντα
20 ἔσται διδακτά. ᾧ ἀκολουθήσει τὸ μηδὲν εἶναι διδακτόν·
δεῖ γὰρ ὑποκεῖσθαί τι ἀδίδακτον, ἵνα ἐκ τοῦ γινωσκομέ-
νου γένηται ἡ τούτου μάθησις. τοίνυν οὐδὲ τὸ ὂν τῷ 10
εἶναι διδάσκεται.

§ **12—13** ~ M XI 220—221 || **14** ~ M XI 222, cf. PH III 254 et 257

**2** *τε* del. Bekk. || **3** *τῷ τε δὲ μὴ* A || **7** *ἔρχεται ἡμῖν* N || **9** *ὡς* ss. E: om. D. | *ὂν ⟨διδακτόν⟩ ἐ.* Bekk. || **11** *καὶ* N: om. cett. | *εἴπερ* N: *ὡς μὴ ὂν* cett. | *εἰ* — 12 *ἐστι*[1] del. schol. N || **13** *μηδ' ἀλ. διδάσκεται* N: del. schol. N.: om. cett.: *εἴπερ δὲ διδακτόν ἐστι τὸ μὴ ὄν, οὐδὲν ἀληθὲς διδάσκεται* Heintz nescius codicis N || **9** — **13** cf. praef. X, hic N tantum praebetur || **8** — **14** glossa *τῶν ἀντιγράφων ἐνέτυχον, οὕτως ἔχει ἡ γρ(αφή), καθάπερ ἐν τῷ ἐδάφει κεῖται. μήποτε δὲ οὕτως γρ(απτέον)· οὔτε τι ἀληθὲς ὡς μὴ ὂν διδακτόν ἐστι· τῶν γὰρ ὄντων ἐστὶ τἀληθές· ἀδίδακτον ἄρα τὸ μὴ ὄν· εἰ δὲ μηδὲν ἀληθὲς διδάσκεται, πᾶν τὸ διδασκόμενον ψεῦ(δος)* sup. marg. N a librario, ut videtur, ipso scripta || **18** *μὴν* om. ED || **20** *διδακτά* Harder: *ἀδίδακτα* G: post *ἀδίδακτα* add. ⟨*καὶ ἄλλως· εἰ τὸ ὂν τῷ εἶναι διδακτόν ἐστιν, οὐδὲν ἔσται ἀδίδακτον*⟩ Heintz coll. PH III 257 et M XI 222 || **22** *τῷ* NABV: *οὐδὲ τὸ* LVr: *ὡς* ED

602

Ὁ δὲ ὅμοιος τῆς ἀπορίας γενήσεται τρόπος καὶ πρὸς 15
τοὺς ἐροῦντας τὸ οὔ τι ὂν ἢ τὶ διδάσκεσθαι. εἰ γὰρ τὸ οὔ τι
ὂν διδάσκοιτο, ἔσται ἢ διδάσκεται τί, καὶ διὰ τοῦτο ⟨τὸ⟩
αὐτὸ τἀναντία οὔτι καὶ τὶ ἔσται, ὅπερ ἦν τῶν ἀδυνάτων.
15 τῷ τε οὔτινι οὐδὲν συμβέβηκεν, διὸ οὐδὲ τὸ διδάσκεσθαι· 5
καὶ γὰρ τοῦτο τῶν συμβεβηκότων ἐστίν. οὐ τοίνυν τὸ 16
οὔτι διδάσκεται. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν καὶ τὸ τὶ
τῶν ἀδιδάκτων γενήσεται· εἰ γὰρ διὰ τοῦτο διδακτὸν
ἔσται ὅτι ἔστιν, οὐδὲν ἀδίδακτον ἔσται, ᾧ ἕπεται τὸ
20 μηδὲν εἶναι διδακτόν. καὶ μὴν εἰ διδάσκεται ⟨τὸ⟩ τί, 17
ἤτοι διὰ τῶν οὐτινῶν διδαχθήσεται ἢ διὰ τῶν τινῶν. 11
ἀλλὰ διὰ μὲν τῶν οὐτινῶν οὐχ οἷόν τε διδαχθῆναι· ἀν-
υπόστατα γάρ ἐστι τῇ διανοίᾳ ταῦτα κατὰ τοὺς ἀπὸ τῆς
στοᾶς (fr. II 330 Arn.). λείπεται οὖν διὰ τῶν τινῶν
25 γίνεσθαι τὴν μάθησιν. ὃ πάλιν ἄπορόν ἐστιν· ὥσπερ γὰρ 18
αὐτὸ τὸ διδασκόμενον κατὰ τοῦτο διδάσκεται καθὸ τί 16
ἐστιν, οὕτως ἐπεὶ καὶ τὰ ἐξ ὧν ἡ μάθησις τινά ἐστι,
⟨πάντα⟩ γενήσεται διδακτά. καὶ ταύτῃ μηδενὸς ὄντος
⟨ἀ⟩διδάκτου ἀναιρεῖται ἡ μάθησις.

Ἄλλως τε, ἐπεὶ τῶν τινῶν τὰ μέν ἐστι σώματα τὰ 19
30 δὲ ἀσώματα, δεήσει τὰ διδασκόμενα τινὰ ὄντα ἤτοι σώ- 21
ματα εἶναι ἢ ἀσώματα· οὔτε δὲ σώματα δύναται ὑπ-
603 άρχειν οὔτε ἀσώματα, ὡς παραστήσομεν· οὐκ ἄρα ἔστι |
τινὰ διδασκόμενα.

## Περὶ σώματος

Τὸ μὲν οὖν σῶμα, καὶ μάλιστα κατὰ τοὺς Στωικούς 20
(cf. fr. II 170 Arn.), οὐκ ἂν εἴη τῶν διδακτῶν· δεῖ γὰρ τὰ 26
διδασκόμενα λεκτὰ τυγχάνειν, τὰ δὲ σώματα οὐκ ἔστι
λεκτά, διόπερ οὐ διδάσκεται. εἴπερ δὲ τὰ σώματα μήτε

§ 19—20 ~ M XI 224—225, cf. PH III 255

**2** *οὐ τί ὂν* bis N: *οὐ̄τί* LE: *οὐ τί* cett. || **3** ⟨*τὸ*⟩ dub. Bekk. add. Bury || **9** *ὅτι⟨τὶ⟩ἔστιν* Heintz Bury || **10** ⟨*τὸ*⟩ add. Heintz || **11** *διδαχθήσεται* — 12 *οὐτινῶν* om. N. suppl. signo apposito in marg. || **12** *μὲν διὰ* VC || **18** ⟨*πάντα*⟩ addidi || **19** *ἀδιδάκτου* Heintz Bury: *διδακτοῦ* G || **22** *δύνανται* N || **28** *δὲ* G: *τε* dub Bekk.

603

αἰσθητά ἐστι μήτε νοητά, δῆλον ὡς οὐδὲ διδακτὰ γενήσε- 5
ται. αἰσθητὰ μὲν οὖν οὐκ ἔστιν, ὡς ἐκ τῆς ἐννοίας αὐτῶν
21 συμφανές. εἰ γὰρ σύνοδός ἐστι κατὰ ἀθροισμὸν μεγέθους
καὶ σχήματος καὶ ἀντιτυπίας τὸ σῶμα, ὥς φησιν Ἐπί-
5 κουρος (cf. fr. 275 Us.), ἢ τὸ τριχῇ διαστατόν, τουτέστι τὸ
ἐκ μήκους καὶ πλάτους καὶ βάθους, καθάπερ οἱ μαθη- 10
ματικοὶ λέγουσιν, ἢ τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας,
ὡς πάλιν ὁ Ἐπίκουρος, ἵνα τούτῳ διορίζῃ τοῦ κενοῦ
22 ἢ ὄγκος ἀντίτυπος, ὡς ἄλλοι, — ὅπως δ' ἂν ἔχῃ, ἐπεὶ
10 κατὰ σύνοδον πολλῶν ἰδιωμάτων νοεῖται, ἡ δὲ πλειόνων
ἐπισύνθεσις οὐχ ἁπλῆς τινος καὶ ἀλόγου αἰσθήσεώς ἐστιν 15
ἔργον ἀλλὰ λογικῆς διανοίας [εἰ δὲ λογικῆς διανοίας], οὐκ
23 ἔσται τῶν αἰσθητῶν τὸ σῶμα. κἂν αἰσθητὸν δὲ [πάλιν] αὐτὸ
ὑποθώμεθα, πάλιν ἐστὶν ἀδίδακτον. τὸ γὰρ αἰσθητὸν
15 πάλιν, ᾗ αἰσθητόν ἐστιν, οὐ διδάσκεται· οὐδεὶς γὰρ λευ-
κὸν ὁρᾶν μανθάνει, οὐδὲ γλυκέος γεύεσθαι, οὐδὲ θερμοῦ 20
ἅπτεσθαι, οὐκ εὐώδους ὀσφραίνεσθαι, ἀλλ' ἔστι ταῦτα
24 τῶν ἀδιδάκτων καὶ φυσικῶς ἡμῖν προσόντων. λείπεται
οὖν νοητόν τε λέγειν τὸ σῶμα καὶ ταύτῃ διδακτόν. ὅπως
20 δ' ἂν ἀληθὲς εἴη, σκοπῶμεν. εἰ γὰρ μήτε μῆκός ἐστι κατ'
ἰδίαν τὸ σῶμα μήτε πλάτος ἢ βάθος, τὸ δὲ ἐξ ἁπάντων 25
νοούμενον, ἀνάγκη πάντων ἀσωμάτων ὄντων καὶ τὸ ἐξ
αὐτῶν συστὰν ἀσώματον νοεῖν καὶ οὐ σῶμα, διὰ δὲ τοῦτο
25 καὶ ἀδίδακτον, πρὸς τῷ τὸν νοοῦντα τὸ ἐκ τούτων συν-
25 εστὼς σῶμα πρότερον ὀφείλειν αὐτὰ ταῦτα νοεῖν, ἵνα
κἀκεῖνο δυνατὸν ᾖ νοεῖν. ἢ γὰρ περιπτωτικῶς αὐτὰ 30
νοήσει ἢ κατὰ μετάβασιν ἀπὸ περιπτώσεως. οὔτε δὲ περι-
πτωτικῶς· ἀσώματα γάρ ἐστι, καὶ τῶν ἀσωμάτων οὐκ

§ **21—22** ∼ M XI 226 || **23** ∼ M XI 227 || **24** ∼ M XI 228

**1** *οὐδὲ* Bekk.: *οὔτε* G || **8** *ὁ* om. ς || **8** *τὸ κενόν* G: ci. Heintz DeVogel: an *τοῦτο ... ⟨καὶ⟩ τὸ κενόν*? || **9** *ἔχοι* ς || **12** *εἰ — διανοίας* del. Heintz || **13** *πάλιν* del. Bekk. || **15** *ᾗ* ELD ς: *ὢ* N || **17** *ἐβώδους* D (similia frequenter) | schol. mutil. in sup. marg. L | *ὀσφρένεσθαι* D (similia frequenter) || **20** *μήτι* N || **24** *πρὸς τῶν* N | *συνεστὸς* ED || **26** *κἀκεῖνο* L (?) Bekk.: *κἀκεῖνα* cett. | *δυνατὸς* dub. Bekk. Bury | post *νοεῖν* an addendum sit ⟨*ἀλλ' οὐ δύναται ταῦτα νοεῖν*⟩ dub. Bekk., add. Bury G:

603
604 *ἀντιλαμβανόμεθα περι|πτωτικῶς, ἀεὶ κατὰ θίξιν γινομένης τῆς περὶ τὴν αἴσθησιν ἀντιλήψεως. καὶ μὴν οὐδὲ κατὰ μετάβασιν ἀπὸ περιπτώσεως, τῷ μηδὲν ἔχειν αἰσθητὸν ἀφ' οὗ μετιών τις ποιήσεται τούτων ἐπίνοιαν. τοίνυν* 5 *οὐδὲ τὰ ἐξ ὧν τὸ σῶμα νοεῖν δυνάμενοι πάντως οὐδὲ διδάσκειν τοῦτο ἰσχύσομεν.*

26 *Ἀλλὰ περὶ μὲν τῆς τοῦ σώματος νοήσεώς τε καὶ ὑποστάσεως ἐν τοῖς σκεπτικοῖς* (PH III 38sq.) *ὑπεμνήσαμεν ἀκριβέστερον· νυνὶ δὲ ἀποστάντες τούτων τῶν ἐλέγχων* 10 *ἐκεῖνο λέγωμεν ὅτι τῶν σωμάτων κατὰ τὸ ἀνωτάτω διττή τίς ἐστι διαφορά· τὰ μὲν γὰρ αὐτῶν αἰσθητὰ καθέστηκε τὰ δὲ νοητά. καὶ εἰ τὸ διδασκόμενόν ἐστι σῶμα, πάντως ἤτοι νοητόν ἐστιν ἢ αἰσθητόν.* 27 *ἀλλ' οὔτε αἰσθητὸν εἶναι δύναται διὰ τὸ πᾶσιν ἐπ' ἴσης ὀφείλειν φαίνεσθαι* 15 *καὶ πρόδηλον ὑπάρχειν, οὔτε νοητὸν διὰ τὸ ἀδηλεῖσθαι καὶ αὐτὸ τοῦτο ἀνεπικρίτως διαφωνεῖσθαι παρὰ πᾶσι τοῖς φιλοσόφοις, τῶν μὲν ἄτομον τοῦτο λεγόντων ὑπάρχειν τῶν δὲ τμητόν, καὶ τῶν τμητὸν φαμένων εἶναι ἐνίων μὲν εἰς ἄπειρον τέμνεσθαι τοῦτο ἀξιούντων, ἐνίων* 20 *δὲ εἰς ἐλάχιστον καὶ ἀμερὲς καταλήγειν. οὐκ ἄρα διδακτόν ἐστι τὸ σῶμα.*

28 *Καὶ μὴν οὐδὲ τὸ ἀσώματον. πᾶν γὰρ καὶ ὁποῖον ἄν τις ἀσώματον λέγῃ διδάσκεσθαι, ἐάν τε τὴν Πλατωνικὴν ἰδέαν, ἐάν τε τὸ παρὰ τοῖς Στωικοῖς λεκτόν, ἐάν τε* 25 *τόπον ἢ κενὸν ἢ χρόνον ἢ ἄλλο τι τῶν τοιούτων, ἵνα μηδὲν προπετὲς περὶ τῆς ὑποστάσεως αὐτῶν λέγωμεν, μηδ' ἑτέρας σκέψεις ἐν ἑτέραις διεξοδεύωμεν παριστάντες τὸ ἀνυπόστατον ἑκάστου,* [δ] *προδήλως μὲν ἐπιζητεῖται καὶ* (Homeri vita Herodotea § 11)

30 *ἔς τ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ*

*ζητήσεται παρὰ τοῖς δογματικοῖς, τῶν μὲν εἶναι ταῦτα*

§ **26—27** ∼ M XI 229 ‖ **28—29** ∼ M XI 230—231

**4** *ἐπίνοια* L ‖ **9** *ἐλέγκων* B ‖ **16** post *καὶ* add. *δι'* Bekk. | *ἀνυποκρίτως* N ‖ **22** *σώματον* D ‖ **23** *λέγει* ND: *λέγειν* C ‖ **24** *τοῖς* om. A ‖ **27** *ἐν* G: *ἐφ'* Bury ‖ **28** *δ* del. Bekk.: anacoluthum tolerat Harder ‖ **30** *δένδρα* NL

604
διαβεβαιουμένων, τῶν δὲ μὴ εἶναι, τῶν δὲ ἐπεχόντων· τὸ δὲ τὰ ἔτι ἐπίδικα καὶ ἐν μετεώροις ἀμφισβητήσεσι κείμενα | ὡς σύμφωνα καὶ ὁμόλογα διδάσκεσθαι λέγειν τῶν 605 ἀτόπων ἐστίν.

29 Εἰ οὖν τῶν ὄντων τὰ μέν ἐστι σώματα τὰ δὲ ἀσώ-6 ματα, δέδεικται δὲ οὐδέτερα τούτων διδασκόμενα, οὐδὲν διδάσκεται. 5

Ἐπιχειρητέον δὲ καὶ οὕτως. εἰ διδάσκεταί τι, ἤτοι ἀληθές ἐστιν ἢ ψεῦδος. οὔτε δὲ ψεῦδος διδακτόν ἐστιν, 10 ὡς αὐτόθεν ὁμόλογον, οὔτε ἀληθές· τὸ γὰρ ἀληθὲς ἄπορον, ὡς ἐν τοῖς σκεπτικοῖς ὑπομνήμασι δέδεικται, καὶ τῶν 30 ἀπόρων οὐκ ἔστι μάθησις. οὐκ ἄρα ἔστι τι τὸ διδασκό- 10 μενον. καθόλου τε, εἰ διδάσκεταί τι, ἤτοι τεχνικόν ἐστιν ἢ ἄτεχνον. καὶ ἄτεχνον μὲν ὂν οὐκ ἔστι διδακτόν, τεχνι-15 κὸν δὲ εἴπερ καθέστηκεν, αὐτόθεν μὲν φαινόμενον οὔτε τεχνικόν ἐστιν οὔτε διδακτόν, ἄδηλον δὲ καθεστὼς διὰ τὸ ἀδηλεῖσθαι πάλιν ἐστὶν ἀδίδακτον. ⟨οὐκ ἄρα ἔστι τι 15 τὸ διδασκόμενον.⟩

Ὧι συναναιρεῖται καὶ ὁ διδάσκων διὰ τὸ μὴ ἔχειν ὃ 20 διδάξει [ἢ ἄδηλόν ἐστιν], ὅ τε μανθάνων διὰ τὸ μὴ ἔχειν ὃ μάθῃ. ὅμως δ' οὖν καὶ περὶ ἑκατέρου τούτων κατ' ἰδίαν ἐπελθόντες ἀπορήσομεν.

## Περὶ τοῦ διδάσκοντος καὶ μανθάνοντος

31 Εἰ γάρ ἔστι τις τούτων, ἤτοι ὁ ἄτεχνος τὸν ὁμοίως 20 ἄτεχνον διδάξει ἢ ὁ τεχνίτης τὸν ὁμοίως τεχνίτην ἢ ὁ 25 ἄτεχνος τὸν τεχνίτην ἢ ἀνάπαλιν. οὔτε δὲ ὁ ἄτεχνος τὸν ἄτεχνον δύναται διδάσκειν, ὡς οὐδὲ ὁ τυφλὸς τὸν τυφλὸν ὁδηγεῖν, οὔτε ὁ τεχνίτης τὸν ὁμοίως τεχνίτην· οὐδέτερος γὰρ αὐτῶν ἐδεῖτο μαθήσεως, καὶ οὐ μᾶλλον οὗτος ἐκείνου 25

§ 29 infr. ~ M XI 232, cf. PH III 253 || 30—34 ~ M XI 233—238 || 31—32 ~ PH III 259

**9** *διδακτόν ἐστιν* om. A || **11** *ὑπεμνήκμασι* (?) ex *ὑπεμνήσαμεν* correctum L || **13** *τε* ELDς: *δὲ* N | *ἤτοι* NELD: *ἢ* ς || **17.18** ⟨*οὐκ — διδασκόμενον*⟩ add. Heintz. || **20** *ἢ — ἐστιν* del. Bekk. sec. Hervetum || **21** *δ' οὖν* Bekk.: *οὖν* VC: *γοῦν* cett. | *ἑκατέρου* ELDς: *ἑκάστου* N || **27** *τὸν ὁμοίως* Heintz, Bury: *ὁμοίως τὸν* G | *οὐδέτερον* D

605

*ἢ ἐκεῖνος τούτου χρείαν ἔχει πρὸς τὸ μανθάνειν, τοῖς ἴσοις περιουσιαζόμενοι. οὔτε ὁ ἄτεχνος τὸν τεχνίτην· ὅμοιον γὰρ* 32 *ὡς εἴ τις λέγοι τὸν βλέποντα ὑπὸ τοῦ πεπηρωμένου ὁδηγεῖσθαι. καὶ γὰρ ὁ ἄτεχνος πρὸς τὰ τεχνικὰ τῶν θεω-* 30 *ρημάτων πεπηρωμένος οὐκ ἂν δύναιτό τινα διδάσκειν ἃ* 5 *μηδὲ τὴν ἀρχὴν οἶδεν, καὶ ὁ τεχνίτης διαβλέπων ἐν τοῖς τεχνικοῖς θεωρήμασι καὶ γνῶσιν αὐτῶν ἐσχηκὼς οὐ δεή-* 606 *σεται τοῦ διδάξοντος.* | *λείπεται οὖν τὸν τεχνίτην τοῦ* 33 *ἀτέχνου διδάσκαλον εἶναι λέγειν. ὃ τῶν προτέρων ἐστὶν ἀτοπώτερον· ὅ τε γὰρ τεχνίτης συνηπόρηται ἡμῖν τοῖς* 10 *τῆς τέχνης θεωρήμασιν ἐν τῷ σκεπτικῷ τόπῳ* (PH III 5 259), *ὅ τε ἄτεχνος οὔτε ὅτε ἐστὶν ἄτεχνος δύναται γενέσθαι τεχνίτης, οὔτε ὅτε ἐστὶ τεχνίτης ἔτι γίνεται τεχνίτης ἀλλ' ἔστιν. ἄτεχνος μὲν γὰρ ὢν ὅμοιός ἐστι τῷ ἐκ* 34 *γενετῆς τυφλῷ ἢ κωφῷ, καὶ ὃν τρόπον οὗτος οὐδέποτε* 15 *ἢ εἰς χρωμάτων ἢ εἰς φωνῶν ἐλθεῖν ἔννοιαν πέφυκεν, οὕτως οὐδὲ ὁ ἄτεχνος, ἐφ' ὅσον ἐστὶν ἄτεχνος, τετυ-* 10 *φλωμένος καὶ κεκωφωμένος πρὸς τὰ τεχνικὰ θεωρήματα οὔτε ἰδεῖν οὔτε ἀκοῦσαί τι τούτων οἷός τε ἐστίν· τεχνίτης δὲ γενόμενος οὐκέτι διδάσκεται ἀλλὰ δεδί-* 20 *δακται.*

*Μετακτέον δὲ τὰς ἀπορίας ἐκ τῶν περὶ μεταβολῆς καὶ* 35 *πάθους γενέσεώς τε καὶ φθορᾶς προεγκεχειρισμένων* 15 *ἡμῖν ἐν ταῖς πρὸς τοὺς φυσικοὺς ἀντιρρήσεσι* (M IX 195 et X 310). *τὰ δὲ νῦν συγχωρήσαντες τοῖς ἀπὸ τῶν μα-* 25 *θημάτων εἶναί τι τὸ διδασκόμενον πρᾶγμα καὶ εἶναί τινα τὸν ὑφηγούμενον, ὡσαύτως δὲ καὶ τὸν μανθάνοντα, τὸ μετὰ τοῦτο ἀπαιτῶμεν τὸν τρόπον τῆς μαθήσεως.*

§ 35—36 ~ M XI 239—240 ~ PH III 265—266

2 *ὁμοίως* D || 11 *τῆς* om. N | *τόπῳ* om. ς || 12 *ὅτε* ante *ἄτεχνος* ELDς: *οὔτε* N || 16 *φωνῆς* ς | *ἐλθεῖν ἔννοιαν* N: *ἔννοιαν ἐλθεῖν* cett. || 17 *ἐστιν ἄτεχνος ἐφ' ὅσον* ED || 20 *δὲ* N, ci. Bekk.: *τε* cett. || 23 *προεγκεχειρισμένων* NED: *προεγκεχειρησμένων* L: *προεγκεχειρημένων* ς edd.

## *Περὶ τρόπου μαθήσεως*

36 Ἢ γὰρ ἐναργείᾳ γίνεται ἢ λόγῳ τὰ τῆς διδασκαλίας. 20
ἀλλὰ τούτων ἡ μὲν ἐνάργεια τῶν δεικτῶν ἐστί, τὸ δὲ
δεικτὸν φαινόμενον, τὸ δὲ φαινόμενον, ᾗ φαίνεται, κοινῶς
πᾶσι ληπτόν, τὸ δὲ κοινῶς πᾶσι ληπτὸν ἀδίδακτον·
5 οὐκ ἄρα τὸ ἐναργείᾳ δεικτὸν διδακτόν. ὁ δὲ λόγος ἤτοι
37 σημαίνει ἢ οὐ σημαίνει. καὶ μηδὲν μὲν σημαίνων οὐδὲ 25
διδάσκαλός τινός ἐστι, σημαίνων δὲ ἤτοι φύσει τι ση-
μαίνει ἢ θέσει. καὶ φύσει μὲν οὐ σημαίνει διὰ τὸ μὴ
πάντας πάντων ἀκούειν, Ἕλληνας βαρβάρων καὶ βαρβά-
10 ρους Ἑλλήνων ἢ Ἕλληνας Ἑλλήνων ἢ βαρβάρους βαρβά-
38 ρων· θέσει δὲ εἴπερ σημαίνει, δῆλον ὡς οἱ μὲν προ- 30
κατειληφότες τὰ καθ' ὧν αἱ λέξεις κεῖνται καὶ ἀντι-
λήψονται τούτων, οὐ τὸ ἀγνοούμενον ἐξ αὐτῶν διδα|σκό- 607
μενοι, τὸ δ' ὅπερ ᾔδεισαν ἀνανεούμενοι, οἱ δὲ χρῄζοντες
15 τῆς τῶν ἀγνοουμένων μαθήσεως οὐκέτι.

*Εἰ οὖν οὔτε τὸ διδασκόμενον ἔστιν οὔτε ὁ διδάσκων*
οὔτε ὁ μανθάνων οὔτε ὁ τρόπος τῆς μαθήσεως, δῆλον
39 ὡς οὐδὲ μάθημα, οὐδὲ ὁ μαθήματος προεστώς. ἀλλ' ἐπεὶ 5
οὐ καθολικὴν μόνον πρὸς πάντας τοὺς μαθηματικοὺς
20 ὑπεσχόμεθα ποιήσασθαι τὴν ἀντίρρησιν ἀλλὰ καὶ εἰδικω-
τέραν πρὸς ἕκαστον, ὑποτιθέμενοι τὸ εἶναί τι μάθημα
καὶ δυνατὴν ὑπάρχειν τὴν μάθησιν, σκοπῶμεν εἰ καὶ τὸ
ἑκάστου μαθήματος ἐπάγγελμα δυνατόν ἐστι, λαμβάνον- 10
τες πρὸς τοὺς ἐλέγχους μὴ πάντα τὰ παρὰ τοῖς ἐλεγχομέ-
25 νοις λεγόμενα (τοῦτο γὰρ σὺν τῷ περισκελὲς καὶ ἀμέθοδον

**§ 36** v. ad **35** || **37** ~ M XI 241 ~ PH III 267 || **38** ~ PH III 268 || **38–39** ~ M XI 242–243

tit. *μεταθέσεως* ABV || **1** *ἐνεργείᾳ* NLEDABV || **2** *ἐνέργεια* Nς, sed *ἐνεϱ́γεια* V | *τῶν* om. C | *δεικτικῶν* EDABC: in marg. *γρ δεικτικῶν* VR || **3** *δεικτικὸν* A | *τὸ δὲ φαινόμενον* om. D || **4** *τὸ δὲ κοινῶς πᾶσι ληπτὸν* om. ς || **5** *ἐνέργεια* N: *ἐνεργείᾳ* AD: *ἐνεργεία* V || **6** post *σημαίνει*[1] add. *τι* Bekk. || **7** *σημαίνει τι* ς Bekk. || **9** *πάντων* om. A || **20** *ἰδικώτερον* N || **22** *ὑπάρχὴν* (ε supra) L || **23** *ἐστι* om. N || **25** *περισκελὲς* scripsi: *περισκελεῖ* G: trad. def. DeVogel

607 εἶναι τάχα καὶ ἀδύνατόν ἐστι), μήτε δ' ἐκ πάντων τὰ 40
ὁποιαοῦν (τοῦτο γὰρ ἴσως οὐδὲ καθικνεῖται αὐτῶν), ἀλλὰ
15 τὰ ὧν ἀναιρουμένων συναναιρεῖται πάντα. καὶ ὃν τρόπον
οἱ πόλιν λαβεῖν σπεύδοντες ἐκείνων μάλιστα ἐγκρατεῖς
γίνεσθαι σπουδάζουσιν ὧν ἁλόντων καὶ ἡ πόλις ἑάλωκεν, 5
οἷον τείχη καθαιροῦντες ἢ στόλον ἐμπιπράντες ἢ τὰς εἰς
τὸ ζῆν ἀφορμὰς ἀποκλείοντες, οὕτω καὶ ἡμεῖς τοῖς ἀπὸ
20 τῶν μαθημάτων διαγωνιζόμενοι τὸ αὐτὸ πειράζωμεν ἐξ
ὧν αὐτοῖς σώζεται τὰ πάντα, οἷον ἢ ἀρχὰς ἢ τὰς ἐκ τῶν
ἀρχῶν καθολικὰς μεθόδους ἢ τὰ τέλη· ἐν τούτοις γὰρ ἢ 10
ἐκ τούτων συνίσταται πᾶν μάθημα.

## ΠΡΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ

Ἀρχέτω δὲ ἡμῖν εὐθὺς ἡ πρὸς τοὺς γραμματικοὺς 41
25 ζήτησις, πρῶτον μὲν ἐπείπερ ἀπὸ νηπιότητος σχεδὸν καὶ
ἐκ πρώτων σπαργάνων γραμματικῇ παραδιδόμεθα, ἔστι
δὲ αὕτη οἷον ἀφετήριόν τι πρὸς τὴν τῶν ἄλλων μάθησιν, 15
εἶθ' ὅτι παρὰ πάσας θρασύνεται τὰς ἐπιστήμας, σχεδόν
τι τὴν τῶν Σειρήνων ὑπόσχεσιν ὑπισχνουμένη. ἐκεῖναι 42
30 μὲν γὰρ εἰδυῖαι ὅτι φύσει φιλομαθής ἐστιν ἄνθρωπος καὶ
πολὺς αὐτῷ κατὰ στέρνων τῆς ἀληθείας ἵμερος ἐντέτη-
κεν, οὐ μόνον θεσπεσίοις μέλεσι κηλήσειν τοὺς παρα- | 20
608 πλέοντας ὑπισχνοῦνται ἀλλὰ καὶ τὰ ὄντα αὐτοὺς διδάξειν·
φασὶ γὰρ (μ 184–191)

δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
νῆα κατάστησον, ἵνα νωιτέρην ὄπ' ἀκούσῃς.
5 οὐ γάρ πώ τις τῇδε παρέπλω νηὶ μελαίνῃ 25

1 εἶναι scripsi: ἐπεὶ G | μηδ' pro μήτε δ' dub. Bekk. || 2 ὁποιανοῦν N: ὁποσαοῦν A || 3 ὧν NLED: τῶν ς || 5 σπουδάζουν C || 6 ἐμπιμπράντες A || 6 et 7 maculati in N || 8 τὸ αὐτὸ G: ταῦτ' αὐτὰ dub. Bekk. Bury | πειράζομεν B || 15 δὲ G: τε Bekk. || 17 τὴν om. LVr || 18 φιλοπαθής (μ supra π) N: φιλοπευθύς A: φιλοπευθής cett. et Theiler cl. Cic. (v. infra) | ἄνθρ. G: corr. Mette || 23 οἱ αὐτοὶ παρὰ κικέρωνι (scil. fin. 5, 18, 49) gloss. N | ὀδυσσεῦ A

πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ' ἀκούσῃ,
ἀλλ' ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.
ἴδμεν γάρ τοι πάνθ' ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν,
5 ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ. 10

43 ἡ δὲ γραμματική, σὺν τῷ τὰ ἐκ τῶν μύθων τε καὶ ἱστοριῶν λόγῳ διορίζειν καὶ τὸ περὶ τὰς διαλέκτους καὶ τεχνολογίας καὶ ἀναγνώσεις πραγματικὸν αὔχουσα, πολὺν ἑαυτῆς ἐργάζεται τοῖς ἀκούουσι πόθον. ἀλλ' ἵνα μὴ παρὰ 10 θύραν πλανᾶσθαι δοκῶμεν, ὑποδεικτέον πόσαι τέ εἰσι 15 γραμματικαὶ καὶ περὶ τίνος αὐτῶν πρόκειται ζητεῖν.

## Ποσαχῶς λέγεται γραμματική

44 Γραμματικὴ τοίνυν λέγεται κατὰ ὁμωνυμίαν κοινῶς τε καὶ ἰδίως, καὶ κοινῶς μὲν ἡ τῶν ὁποιωνδηποτοῦν γραμμάτων εἴδησις, ἐάν τε Ἑλληνικῶν ἐάν τε βαρβαρικῶν, ἣν 15 συνήθως γραμματιστικὴν καλοῦμεν, ἰδιαίτερον δὲ ἡ ἐντε- 20 λὴς καὶ τοῖς περὶ Κράτητα τὸν Μαλλώτην (F 16 Mette)
45 Ἀριστοφάνην τε καὶ Ἀρίσταρχον ἐκπονηθεῖσα. δοκεῖ δὲ τούτων ἑκατέρα καὶ ἀπό τινος ἐτύμου φερωνύμως προσηγορεῦσθαι. ἡ μὲν γὰρ πρώτη ἀπὸ τῶν γραμμάτων οἷς 20 σημειούμεθα τὰς ἐνάρθρους φωνάς, ἡ δὲ δευτέρα τάχα 25 μέν, ὥς τινες ἠξιώκασι, διατακτικώτερον ἀπὸ τῆς πρώτης· μοῖρα γάρ ἐστιν αὐτῆς, καὶ ὃν τρόπον ἡ ἰατρικὴ εἴρηται μὲν τὸ παλαιὸν ἀπὸ τῆς τῶν ἰῶν ἐξαιρέσεως, ἐπικατηγορεῖται δὲ νῦν καὶ τῆς τῶν ἄλλων παθῶν ἀνα-
46 σκευῆς πολλῷ τεχνικωτέρας οὔσης, καὶ ὡς γεωμετρία 30
26 ἔσπακε μὲν τὴν κλῆσιν ἀρχικῶς ἀπὸ τῆς κατὰ τὴν γῆν

1 ἡμέον E | μελέγηρυν N || 5 ὅσα NED | γένηται om. N | πολυβοτείρῃ Nς || 7 τῷ L || 8 ἑαυτοῖς ED || 11 αὐτῶν om. N | προυκειται D || 13 γραμμάτων LEDς: πραγμάτων N || 15 γραμματιστικὴν NL edd.: γραμματικὴν EDς || 17 ἀριφάνην V || 18 ἐτύμου LEDς: τείμοῦ (sic) N | φερονύμως ED || 20 ἐνάνθρους N || 21 διδακτικώτερον C: διατατικώτερον edd. Theiler || 22 ἐστιν ⟨αὕτη⟩ αὐτῆς Bury | ἡ N: om. cett. || 25 τεχνικοτέρας N | atramento foedatus L

608

609 καταμετρήσεως, τάττεται δὲ ἐπὶ | τοῦ παρόντος καὶ κατὰ
τῆς τῶν φυσικωτέρων θεωρίας, οὕτω καὶ ἡ τέλειος γραμ-
ματικὴ ἀπὸ τῆς τῶν γραμμάτων εἰδήσεως κατ' ἀρχὰς
ὀνομασθεῖσα διετάθη καὶ ἐπὶ τὴν ἐν τοῖς ποικιλωτέροις
5 αὐτῶν καὶ τεχνικωτέροις θεωρήμασι γνῶσιν. τάχα δέ, ὥς 47
φασιν οἱ περὶ τὸν Ἀσκληπιάδην (FHG III 299 Mueller), 6
καὶ αὐτὴ ἀπὸ μὲν γραμμάτων ὠνόμασται, οὐκ ἀπὸ τού-
των δὲ ἀφ' ὧν καὶ ἡ γραμματιστική, ἀλλ' ἐκείνη μέν, ὡς
ἔφην, ἀπὸ τῶν στοιχείων, αὕτη δὲ ἀπὸ τῶν συγγραμ-
μάτων περὶ οἷς πονεῖται. γράμματα γὰρ καὶ ταῦτα προσ- 10
10 ηγορεύετο, καθὰ καὶ δημόσια καλοῦμεν γράμματα, καὶ
πολλῶν τινὰ γραμμάτων ἔμπειρον ὑπάρχειν φαμέν, τουτ-
έστιν οὐ τῶν στοιχείων ἀλλὰ τῶν συγγραμμάτων. καὶ 48
Καλλίμαχος (epigr. 6 Pfeiffer) δέ, ποτὲ μὲν τὸ ποίημα
καλῶν γράμμα ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα, φησί· 15

15 Κρεοφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον ἀοιδόν
δεξαμένου, κλείω δ' Εὔρυτον ὅσσ' ἔπαθεν
καὶ ξανθὴν Ἰόλειαν, Ὁμήρειον δὲ καλεῦμαι
γράμμα. Κρεοφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

καὶ πάλιν (epigr. 23 Pfeiffer) 20

20 εἴπας 'Ἥλιε χαῖρε' Κλεόμβροτος Ἀμπρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀίδην,
ἄξιον οὐδὲν ἰδὼν θανάτου τέλος, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

Πλὴν διττῆς οὔσης γραμματικῆς, τῆς μὲν τὰ στοι- 49
25 χεῖα καὶ τὰς τούτων συμπλοκὰς διδάξειν ἐπαγγελλομένης 26
καὶ καθόλου τέχνης τινὸς οὔσης τοῦ γράφειν τε καὶ ἀνα-
γινώσκειν, τῆς δὲ βαθυτέρας παρὰ ταύτην δυνάμεως, οὐκ
ἐν ψιλῇ γραμμάτων γνώσει κειμένης ἀλλὰ κἂν τῷ ἐξετά-

8 γραμματική NCVr Gen. || 10 γὰρ plerique: δὲ A || 11 καλοῦμεν LEDς: τελοῦμεν N || 12 τινὰ plerique: τινῶν VCVr || 15 δὲ om. N | καταλογάδη L || 16 κρεοφύλου LDς: κρεοφίλου NE | ἀηδὸν AB || 17 κλείω NLEDABVr: κλεί(υ)ω VC: κλύ(ει)ω R: κλαίω Fabr. Gen. | ὅσ' B || 19 κρ(ε)οφίλου NE: κρεοφύλου LDς || 21 κλεόβροτος C || 22 ἤλατ' N ἥλλατ' ELDς | ἀμφυψηλοῦ C || 23 ἀλλάτωνος D || 27 καθόλλου L

ζειν τὴν εὕρεσιν αὐτῶν καὶ τὴν φύσιν, ἔτι δὲ τὰ ἐκ τούτων συνεστῶτα λόγου μέρη καὶ εἴ τι τῆς αὐτῆς ἰδέας θεωρεῖται, πρόκειται νῦν ἀντιλέγειν οὐ τῇ προτέρᾳ· συμφώ-|νως γὰρ κατὰ πάντας ἐστὶ χρειώδης, ἐν οἷς θετέον καὶ τὸν Ἐπίκουρον (ad. fr. 227 Us.), εἰ καὶ δοκεῖ τοῖς ἀπὸ τῶν μαθημάτων διεχθραίνειν· ἐν γοῦν τῷ περὶ δώρων καὶ χάριτος (fr. 22 Us.) ἱκανῶς πειρᾶται διδάσκειν ὅτι ἀν-
50 αγκαῖόν ἐστι τοῖς σοφοῖς μανθάνειν γράμματα. καὶ ἄλλως, εἴπαιμεν ἂν ἡμεῖς, οὐ σοφοῖς μόνον ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. ὅτι γὰρ πάσης τέχνης τὸ τέλος εὔχρηστόν ἐστι
51 τῷ βίῳ, φανερόν. τῶν δὲ τεχνῶν αἱ μὲν προηγουμένως ὑπὲρ τῆς τῶν ὀχληρῶν ἐκκλίσεως παρῆλθον, αἱ δὲ ὑπὲρ τῆς τῶν ὠφελίμων εὑρέσεως. καὶ ἔστι τῆς μὲν πρώτης ἰδέας ἰατρική, παιωνὶς οὖσα καὶ λυσίπονος τέχνη, τῆς δὲ δευτέρας κυβερνητική· τῆς γὰρ ἀπὸ τῶν ἄλλων ἐθνῶν
52 χρείας μάλιστα δέονται πάντες ἄνθρωποι. ἐπεὶ οὖν ἡ γραμματιστικὴ διὰ τῆς τῶν γραμμάτων ἐπινοίας ἶᾶται μὲν ἀργότατον πάθος, τὴν λήθην, συνέχει δὲ ἀναγκαιοτάτην ἐνέργειαν, τὴν μνήμην, τὰ πάντα ἐπ' αὐτῇ κεῖται σχεδόν, καὶ οὔτε ἄλλους τι ἔνεστι τῶν ἀναγκαίων διδάσκειν οὔτε παρ' ἄλλου μαθεῖν τι τῶν λυσιτελῶν χωρὶς αὐτῆς δυνατὸν ἔσται. οὐκοῦν τῶν χρησιμωτάτων ἡ γραμ-
53 ματιστική. ἀμέλει γοῦν οὐδὲ θελήσαντες δυνησόμεθα ταύτην ἀπεριτρέπτως ἀνελεῖν· εἰ γὰρ αἱ ἄχρηστον διδάσκουσαι τὴν γραμματιστικὴν ἐπιχειρήσεις εἰσὶν εὔχρηστοι, οὔτε δὲ μνημονευθῆναι οὔτε τοῖς αὖθις παραδοθῆναι χωρὶς αὐτῆς δύνανται, χρειώδης ἐστὶν ἡ γραμματιστική. καίτοι δόξειεν ἂν τισιν ἐπὶ τῆς ἐναντίας εἶναι προλήψεως ὁ προφήτης τῶν Πύρρωνος λόγων Τίμων ἐν οἷς φησι (PPF. B 61 Diels)

6 τῶν om. A || 8 μανθάνειν — 9 σοφοῖς om. AB, in marg. suppl. B || 9 εἴποιμεν CR || 12 ἐκκλήσεως LVr || 17 γραμματική Nς || 20 ἄλλοις Fabr. Gen. ἀναγαίων LVr: ἀναγκαιοτάτων ς || 21 τι om. NLEDVr || 22 γραμματική NABVC || 23 ταύτην δυνησόμεθα LVrEDς || 25 γραμματικὴν G || 26 παραδοῦναι N || 27 δύναται G | γραμματική NEDABVC || 28 δόξειεν N: δόξει (η suprascr.) Vr: δόξῃ cett.: δόξαι edd.

610 γραμματική, τῆς οὔ τις ἀνασκοπὴ οὐδ' ἀνάθρησις
ἀνδρὶ διδασκομένῳ Φοινικικὰ σήματα Κάδμου·

οὐ μὴν οὕτως ἔχειν φαίνεται· τὸ γὰρ ὑπ' αὐτοῦ λεγόμε- 54
30 νον οὐκ ἔστι τοιοῦτον κατ' αὐτῆς τῆς γραμματιστικῆς, |
611 καθ' ἣν διδάσκεται τὰ Φοινικικὰ σήματα Κάδμου, τὸ 5
'οὐδεμία ἐστὶν ἀνασκοπὴ οὐδ' ἀνάθρησις'· πῶς γάρ,
εἰ διδάσκεταί τις αὐτήν, οὐδεμίαν ἔσχηκεν ἐπιστροφὴν
αὐτῆς; ἀλλὰ μᾶλλον τοιοῦτό φησι 'διδαχθέντι τὰ Φοινι-
5 κικὰ σήματα Κάδμου οὐδεμιᾶς ἄλλης παρὰ τοῦτό ἐστι
γραμματικῆς ἐπιστροφή', ὅπερ καταστρέφει οὐκ εἰς τὸ 10
ἀχρηστεῖν ταύτην τὴν ἐν τοῖς στοιχείοις καὶ τῷ δι' αὐτῶν
γράφειν τε καὶ ἀναγινώσκειν θεωρουμένην, ἀλλὰ τὴν πέρ-
10 περον καὶ περιεργοτέραν· ἡ μὲν γὰρ τῶν στοιχείων χρῆσις 55
ἤπειγεν εἰς τὴν τοῦ βίου διεξαγωγήν, τὸ δὲ μὴ ἀρκεῖ-
σθαι τῇ ἐκ τῆς παρατηρήσεως τούτων παραδόσει, προσ- 15
επιδεικνύναι δὲ ὡς τάδε μέν ἐστι φωνάεντα τῇ φύσει τάδε
δὲ σύμφωνα, καὶ τῶν φωναέντων τὰ μὲν φύσει βραχέα τὰ
δὲ μακρὰ τὰ δὲ δίχρονα καὶ κοινὰ μήκους τε καὶ συστο-
15 λῆς, καὶ καθόλου τὰ λοιπὰ περὶ ὧν οἱ τετυφωμένοι τῶν
γραμματικῶν διδάσκουσιν ⟨ἄχρηστά ἐστιν⟩. ὥστε τῇ μὲν 56
γραμματιστικῇ πρὸς τῷ μηδὲν ἐγκαλεῖν ἔτι καὶ τὰς ἀνω- 21
τάτω χάριτας ὀφείλομεν, τῇ δὲ λειπομένῃ προσάπτομεν
τοὺς ἐλέγχους. τὸ δὲ εἴτε ὑγιῶς εἴτε τοὐναντίον μάθοιμεν
20 ἂν προσεξαπλώσαντες αὐτῆς τὸν χαρακτῆρα.

## Τί ἐστι γραμματική

Ἐπεὶ οὔτε ζητεῖν οὔτε ἀπορεῖν ἔστι κατὰ τὸν σοφὸν 57
Ἐπίκουρον (fr. 255 Us.) ἄνευ προλήψεως, εὖ ἂν ἔχοι πρὸ 26

§ 57 cf. M XI 21

4 γραμματικῆς NAB || 5 φοινικὰ NC (in marg. iteratum N) || 6 ἀνακοπὴ A || 9 σήματα iteravit E || 11 αὐτῷ L || 14 διεξαγαγὴν N: διαγωγὴν D || 16 τὰ μὲν . . . τὰ δὲ C | φωνήεντα N | τῇ om. N || 17 φωνηέντων NED | φύσει LEDς: εἰσὶ N || 20 ⟨. . .⟩ add. Bury || 21 γραμματικῇ NA | πρὸς τὸ NA || 24 αὐτοῖς ED || 26 εὖ Nς: οὗ (ευ supra) L: οὖ ED (tachygr. pro οὕτως?) | ἔχει (οι supra) LVr || 26sq. πρὸ τῶν NABCV: πρῶτον LEDVr

611

τῶν ὅλων σκέψασθαι τί τ' ἐστὶν ἡ γραμματική, καὶ εἰ κατὰ τὴν ἀποδιδομένην ὑπὸ τῶν γραμματικῶν ἔννοιαν δύναται συστατόν τι καὶ ὑπαρκτὸν νοεῖσθαι μάθημα. 25 Διονύσιος μὲν οὖν ὁ Θρᾷξ (§ 1 ed. Uhlig Lips. 1883) ἐν 5 τοῖς παραγγέλμασί φησι 'γραμματική ἐστιν ἐμπειρία ὡς ἐπὶ τὸ πλεῖστον τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων', συγγραφεῖς καλῶν, ὡς ἔστιν ἐκ τῆς πρὸς τοὺς ποιητὰς ἀντεμφάσεως πρόδηλον, οὐκ ἄλλους τινὰς ἢ 30 58 τοὺς καταλογάδην πραγματευσαμένους. τά τε παρὰ τοῖς 10 ποιηταῖς [καὶ συγγραφεῦσιν], ἃ ὁ γραμματικὸς ἑρμηνεύειν | φαίνεται, καθάπερ Ὁμήρῳ τε καὶ Ἡσιόδῳ Πινδάρῳ τε 612 καὶ Εὐριπίδῃ καὶ Μενάνδρῳ καὶ τοῖς ἄλλοις, τά τε παρὰ τοῖς συγγραφεῦσιν, οἷον Ἡροδότῳ καὶ Θουκυδίδῃ καὶ 59 Πλάτωνι, ὡς ἴδιον ἔργον μετέρχεται. παρὸ καὶ οἱ χα- 15 ρίεντες ἐξ αὐτῶν περὶ πολλῶν ἐπραγματεύσαντο συγ- 5 γραφέων, τοῦτο μὲν ἱστορικῶν τοῦτο δὲ ῥητορικῶν καὶ ἤδη φιλοσόφων, ζητοῦντες τίνα τε δεόντως καὶ ἀκολού- θως ταῖς διαλέκτοις εἴρηται καὶ τίνα παρέφθαρται, τί τε σημαίνει παρὰ μὲν Θουκυδίδῃ λόγου χάριν τὸ 'ζάγκλον' 20 (VI 4, 5) καὶ 'τορνεύοντες', παρὰ δὲ Δημοσθένει (de coron. 10 122) τὸ 'ἐβόα ὥσπερ ἐξ ἁμάξης', ἢ πῶς ἀναγνωστέον παρὰ Πλάτωνι τὴν 'η δ ος' λέξιν, πότερον ψιλῶς ἐκφέρον- τα τὴν πρώτην συλλαβὴν ἢ δασέως, ἢ τὴν μὲν πρώτην ψιλῶς τὴν δὲ δευτέραν δασέως, ἢ ἀμφοτέρας ψιλῶς ἢ 60 ἐναλλάξ. διὰ γὰρ τὰ τοιαῦτα εἴρηται ἡ γραμματικὴ 26 ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λε- 15 γομένων.

§ 58 *τορν.* ap. Thuc. non traditum || 59 *ηδος* v. Suidas, Photius, Etym. Magn. || 60 ~ schol. in Dionys. Thr. 730, 22 Anecd. Gr. Bekker = 165,16 Hilgard

1 *ἡ* om. A | *καὶ* om. C | *εἰ* NEABVC: *ἢ* LDVr || 7 *ξυγγρα- φεῖς* G || 9 post *τε* add. *γὰρ* Bekk. || 10 *ξυγγραφεῦσιν* ς: *καὶ συγ- γραφεῦσιν* del. Bekk. | *ἃ* om. LEDς || 11 *φαινόμενος*, in marg. *γρ. φαίνεται* RV || 13 *καὶ θουκυδίδῃ* om. B || 15 *ξυγγραφέων* ς || 16 *τοῦτο δὲ ῥητορικῶν* om. ED || 18 *δὲ* pro *τε* B || 19 verbo *ζάγ- κλον* ss. *δρέπανον* E, idem in marg. D || 22 *ἦ* (sive *ἤ*) *δ' ὅς* G | *ἐκφέρεται* ABV || 23 *ἢ τὴν* — 24 *δασέως* om. N lacuna signo notata, in marg. suppl. litteris paene exstinctis

612

Οὗτος μὲν οὖν οὕτως· ἐγκαλεῖ δὲ αὐτῷ Πτολεμαῖος ὁ Περιπατητικὸς ὅτι οὐκ ἐχρῆν ἐμπειρίαν εἰρηκέναι τὴν γραμματικήν (αὐτὴ μὲν γὰρ ἡ ἐμπειρία τριβή τίς ἐστι 61 καὶ ἐργάτις ἄτεχνός τε καὶ ἄλογος, ἐν ψιλῇ παρατηρήσει 20 καὶ συγγυμνασίᾳ κειμένη, ἡ δὲ γραμματικὴ τέχνη καθ- 5 έστηκεν), οὐ συνορῶν ὅτι τάττεται μὲν καὶ ἐπὶ τέχνης τοὔνομα, καθὼς ἐν τοῖς ἐμπειρικοῖς ὑπομνήμασιν (op. deperd.) ἐδιδάξαμεν, ἀδιαφόρως τοῦ βίου τοὺς αὐτοὺς ἐμπείρους τε καὶ τεχνίτας καλοῦντος, ἀφ' ἧσπερ ἐννοίας 25 καὶ ὁ Μητρόδωρος (fr. 61 Koerte) ἔφη μηδεμίαν ἄλλην 10 πραγμάτων ἐμπειρίαν τὸ ἑαυτῆς τέλος συνορᾶν ἢ φιλοσοφίαν, τουτέστι μηδεμίαν τέχνην, τάττεται δὲ ἐξόχως καὶ 62 ἐπὶ τῆς τῶν πολλῶν καὶ ποικίλων πραγμάτων γνώσεως, καθὼς καὶ τοὺς πρεσβύτας πολλὰ μὲν ἰδόντας πολλὰ δὲ 30 ἀκούσαντας ἐμπείρους τοῦ βίου φαμέν, ὡς καὶ ὁ Εὐριπίδης 15 (Phoen. 528) |

613 ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν, ἀλλ' ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

ἐφ' ὅπερ ἴσως ὁ Θρᾷξ φερόμενος σημαινόμενον, ἐπεὶ πο- 63 5 λυειδήμονά τινα καὶ πολυμαθῆ βούλεται εἶναι τὸν γραμ- 21 ματικόν, ἔφη ἐμπειρίαν ὑπάρχειν τὴν γραμματικὴν τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων. ὥστε τοῦτο μὲν ὑπέλαφρον, ἐκεῖνο δὲ ἴσως τις πραγματικωτέρας ἐχόμενον ζητήσεως ἐρεῖ πρὸς αὐτόν· ἤτοι γὰρ τῶν παρὰ 64 10 ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων μόνον ἐμπειρίαν 26 συμβέβηκεν εἶναι τὴν γραμματικήν, ἢ καὶ τῶν μήτε παρὰ ποιηταῖς μήτε παρὰ συγγραφεῦσι καθεστώτων. ἀλλὰ μόνων μὲν τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν οὐκ ἂν εἴ-

§ 61 ἐμπ. ὑπομν. deperdita sec. Brochard p. 321. fr. 56 Deichgräber

**3** αὕτη N || **4** ἐργάτης NED || **5** γυμνασία A || **9** καλοῦντας N || **15** καὶ om. D || **18** ἐτροκλέες N: ἐτέοκλες A | ἡ ἐμπειρία N: ἀλλ' ἐμπειρία ED || **19** λέξαι LEDς: δεῖξαι N || **20** σημαῖνον LVr || **23** ὥστε — 26 λεγομένων om. ED || **24** πραγματικωτέρας Heintz, Bury: γραμματικωτέρας G | ἐχόμενος ς || **26** τε om. N ς || **29** παρὰ τοῖς ποιηταῖς NEDAB

613

ποι⟨μ⟩εν ἐμπειρίαν αὐτὴν ὑπάρχειν ἅτε ποτὲ καὶ ταῖς ἀνὰ
χεῖρα τῶν ἰδιωτῶν καὶ ἀνεπιστημόνων ὁμιλίαις ἐφιστῶσαν 15
⟨θεωρεῖσθαι⟩, καὶ τὸ βάρβαρον καὶ τὸ Ἑλληνικὸν τό τε σό-
65 λοικον καὶ τὸ μὴ τοιοῦτον ἐξελέγχουσαν. εἰ δὲ καὶ τῶν μὴ
5 παρὰ ποιηταῖς μηδὲ συγγραφεῦσι μόνον λεγομένων ἐμπει-
ρία καθέστηκεν, οὐκ ἔδει αὐτὴν εἶναι λέγειν, ἀπὸ μέρους
ἔχειν συμβεβηκός. 20

Ἀλλὰ παρέντες τὸ περὶ τῶν τοιούτων λεπτολογεῖν σκο-
πῶμεν, ὡς ὑπεσχόμεθα, εἰ δύναται τέλος, ὅσον ἐπὶ τῇ
66 τοιαύτῃ ἐννοίᾳ, ὑποστῆναι ἡ γραμματική. ὅταν οὖν λέ-
11 γωσιν αὐτὴν ἐμπειρίαν κατὰ τὸ πλεῖστον τῶν παρὰ ποιη-
ταῖς καὶ συγγραφεῦσι λεγομένων, φασὶ πάντων ἢ τινῶν. 25
καὶ εἰ πάντων, [πρῶτον μὲν] οὐκέτι κατὰ τὸ πλεῖστον ἀλλὰ
πάντων, καὶ εἰ πάντων, καὶ τῶν ἀπείρων· ἄπειρα γάρ
15 ἐστι ταῦτα. τῶν δὲ ἀπείρων οὐκ ἔστιν ἐμπειρία· διόπερ
οὐδὲ γραμματική τις γενήσεται. εἰ δὲ τινῶν, ἐπεὶ καὶ οἱ |
ἰδιῶταί τινα τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομέ- 614
νων εἰδότες οὐκ ἔχουσι γραμματικὴν ἐμπειρίαν, οὐδὲ ταύ-
67 τῃ εἶναι λεκτέον γραμματικήν. ἐκτὸς εἰ μή τι διὰ τοῦτο
20 ⟨τὸ⟩ 'κατὰ τὸ πλεῖστον' εἰρῆσθαι φήσουσιν, ἵνα ἥ τε
πρὸς τὴν πάντων ἐνιαχοῦ [ἀπορίαν] ἐμπειρία⟨ν⟩ ἥ τε 5
πρὸς τὸν ἰδιωτισμὸν διαφορὰ ὑποβάλληται. τοῦ μὲν γὰρ
ἰδιώτου διενήνοχεν ὁ γραμματικὸς παρόσον οὐκ ὀλίγων,
ὡς ἐκεῖνος, ἀλλὰ πλείστων τῶν παρὰ ποιηταῖς τε καὶ συγ-
25 γραφεῦσι λεγομένων ἔμπειρός ἐστι· τῆς δὲ τῶν πάντων
γνώσεως ἀδυνάτου τάχα καθεστώσης κεχώρισται, ἐπεὶ οὐ 10

1 ⟨μ⟩ Theiler | ἅτε Theiler: διὰ τὸ G | ποτὲ μὲν καὶ N, qui hic nos desinit. pergit lacuna intermissa MV II 41 | ταῖς . . . 2 ὁμιλίαις dub. Bekk. Bury: τὰς . . . ὁμιλίας G || 5 μηδὲ Bekk.: μήτε G || 6 ἀπὸ — 7 Bekk. dub. an ⟨ὅ⟩ ἀπὸ μέρους ἔχει συμβεβηκός: probat We.: dubito an legendum sit οὐκ ἔδει αὐτὴν ⟨τούτων ἐμπειρίαν⟩ εἶναι λέγειν. ⟨τὸ γὰρ⟩ ἀπὸ μέρους ἔχειν συμβεβηκός ⟨ἐστιν⟩ || 13 πρῶτον μὲν delevi || 14 καὶ εἰ G: εἶτα εἰ dub. Bekk., cuius vice supra πρῶτον μὲν delevi || 18 ταύτην G: corr. Bury || 19.20 ⟨τὸ⟩ dub. Bekk. Bury: διὰ [τοῦ] τὸ Harder || 21 ἀπορίαν ἐμπειρία ἥ τε LEDVr Gen: ἀπορίαν ἧτε ς: [ἀπορίαν] ἐμπειρία⟨ν⟩ Kayser: ἐνιαχοῦ ἀπορίαν del. Harder: πάντων ἐμπειρίαν ἐνιαχοῦ ἀπορία dub. Bekk. Bury: οὐ pro πρὸς τὴν et [ἀπορ.] ἐμπειρία Theiler

614 πάντα, τὰ δὲ πλεῖστα ἐξ αὐτῶν ἐπαγγέλλεται γινώσκειν. ταῦτα δὲ οὐκ ἀπολογουμένου ἦν, ἀλλὰ κακοῖς ἐπιπληροῦντος κακὰ καὶ μηκέτι μετρίως ἀλλ' ἄρδην ἐπισπωμένου τὰς ἀπορίας. πρῶτον μὲν οὖν ὡς τὰ πολλὰ ἀόριστά 68
15 ἐστι καὶ τὴν σωρικὴν γεννᾷ ἀπορίαν, οὕτω καὶ τὰ πλεῖστα. ὅθεν ἢ περιγραψάτωσαν ἡμῖν αὐτά, δείξαντες ἄχρι πόσων γνώσεως τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων ῥητέον· ἢ εἴπερ ἐπὶ ἀορίστου μένουσιν ὑποσχέσεως, τὰ πλεῖστα γινώσκειν λέγοντες, παραδεχέσθωσαν τὴν παρὰ 5
20 μικρὸν ἐρώτησιν. τοῦ γὰρ πλείστου ὁρισθέντος ἀριθμοῦ ὁ ἑνὶ ἐλάσσων πλεῖστος ἀκμήν ἐστιν, ἐπεὶ τελέως ἄτοπον μονάδος προσθέσει τὸν μὲν πλεῖστον λέγειν τὸν δὲ μηδαμῶς. διόπερ ἀεὶ μονάδι μειονεκτούμενος ὁ κατ' αὐτοὺς πλεῖστος ἀριθμὸς ἐλεύσεται πάντως εἰς τὸ μηκέτι ἀρι- 69 11
25 θμὸς πλεῖστος ὑπάρχειν, καὶ διὰ τοῦτο μηδὲ γραμματικήν· ὅπερ ἦν τῆς σωρικῆς ἀπορίας συμπέρασμα. πῶς δ' οὐκ ὄντως γραμματικῆς παχύτητος τὸ ἐν ἀπείρῳ πλήθει λέγειν πλεῖστα; ὡς γὰρ τὸ ὀλιγώτερον πρός τί ἐστι καὶ κατὰ τὴν ὡς πρὸς τὸ πλεῖστον σχέσιν νοεῖται, οὕτω καὶ 15 70
30 τὸ πλεῖστον κατὰ τὴν ὡς πρὸς τὸ ὀλίγον σχέσιν θεωρήσεται. εἰ οὖν τῶν πλείστων ⟨τῶν⟩ παρὰ ποιηταῖς καὶ 20
615 συγγραφεῦσι λεγομένων | ἐμπειρίαν ἔχουσιν οἱ γραμματικοί, ὀλίγων τῶν λοιπῶν οὐκ ἔχουσιν· εἰ δὲ καὶ τὸ ληφθέν ἐστι πλεῖστον καὶ τὸ καταλειφθὲν ἔλασσον, οὐκέτι τὸ πᾶν γίνεται ἄπειρον. ὅμως δ' οὖν, ἵνα μηδὲν περὶ τούτων 71 25
5 ἀκριβευώμεθα, ψεῦδός ἐστι τὸ τὰ πλεῖστα τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων γινώσκειν τὸν γραμματικόν· ἐλάχιστα γὰρ ἦν, πολλαπλασιόνων ἀπολειπομένων ἃ οὐκ οἶδε, καθὼς προβαινούσης τῆς ζητήσεως παραστήσω. τὰ νῦν δὲ ἄλλην ἀπόδοσιν θεωρητέον. 72
10 Ἀσκληπιάδης τοίνυν μέμφεται τὸν Θρᾷκα Διονύσιον 31

§ 72 Ἀσκληπιάδης v. adn. ad Dionys. Thr. § 1 Uhlig

7 γνώσεως Heintz. Bury: γνώσεων G | ποιηταῖς τε καὶ Gen. Fabr. Bekk. || 8 μένον LVr || 13 πλεονεκτούμενος G: corr. Kayser || 15 γραμματική Gen. Fabr. Bury || 17 ὄντος L || 21 ⟨τῶν⟩ add. Bekk. || 27 τε om. EDς || 29 εἶδε EDLVr

615

ἐμπειρίαν λέγοντα τὴν γραμματικήν, δι' ἣν αἰτίαν καὶ ὁ Πτολεμαῖος ἔφη, ἐγκαλεῖ δὲ αὐτῷ καὶ τὸ κατὰ τὸ πλεῖστον ἐμπειρίαν αὐτὴν ἀποφαίνειν. τοῦτο μὲν γὰρ τῶν στοχαστικῶν καὶ ὑπὸ τὴν τύχην πιπτουσῶν ἐστι τεχνῶν,
5 ὥσπερ κυβερνητικῆς καὶ ἰατρικῆς· γραμματικὴ δὲ οὐκ ἔστι 15 στοχαστικὴ ἀλλὰ μουσικῇ τε καὶ φιλοσοφίᾳ παραπλήσιος.
73 'εἰ μή τι δέδοικε' φησί 'τὴν ὀλιγότητα τοῦ βίου ὡς οὐκ οὖσαν ἱκανὴν πρὸς τὸ πάντα περιλαβεῖν, ὅπερ ἐστὶν ἄτοπον, γραμματικοῦ ἀλλ' οὐ γραμματικῆς ποιήσεται τὸν ὅρον, ἐπεί-
10 περ οὗτος μὲν τυχὸν ἴσως ἐπιστήμων ἐστὶ τῶν ⟨πλείστων⟩ 20 παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, ὀλιγόβιον
74 καθεστὼς ζῷον, ἡ δὲ γραμματικὴ πάντων εἴδησις.' ὅθεν τὸ μὲν ἀλλάξας τοῦ ὅρου τούτου τὸ δ' ἀνελών, οὕτως ἀποδίδωσι τῆς γραμματικῆς τὴν ἔννοιαν· 'γραμματική
15 ἐστι τέχνη τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομέ- 25 νων.' οὐκ ἀνεῖλε δὲ ὁ ἀνὴρ τὰς ἀπορίας ἀλλ' ἐπέτεινεν· καὶ ἐν οἷς θέλει τὴν γραμματικὴν αὔξειν, ἐν τούτοις αὐτὴν ἀνεῖλεν. ἔστω γὰρ πάντων εἴδησις τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων. οὐκοῦν ἐπεὶ οὐδέν ἐστιν εἴδησις
20 παρὰ τὸν εἰδότα, οὐδὲ γραμματική ⟨τι⟩ παρὰ τὸν εἰδότα | 30 γραμματικόν, ὡς οὐδὲ περιπάτησις παρὰ τὸν περιπα- 616 τοῦντα καὶ στάσις παρὰ τὸν ἑστῶτα καὶ κατάκλισις παρὰ
75 τὸν κατακείμενον. ὡμολόγηται δὲ ὁ γραμματικὸς μὴ ἔχειν πάντων εἴδησιν· οὐκ ἄρα ἔτι ἔστιν εἴδησις πάντων τῶν
25 παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων, διὰ δὲ τοῦτο 5 οὐδὲ γραμματική. καὶ ἄλλως, εἴπερ τέχνη ἐστὶν ἡ γραμματική, εἴδησις οὖσα πάντων τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, ἡ δὲ τέχνη σύστημα ἐκ καταλή-

§ 75 *τέχνη* cf. Stoic. fr. I 73 Arn.

**2** *καὶ τὸ* dub. Bekk. Bury: *καὶ τῷ* G || **4** *τὴν* om. LVr | *τύχην* LED: *τέχνην* ς | *τῶν* post *ἐστι* A || **9** ⟨*ὡς*⟩ *γραμματικοῦ* dub. Bekk. Bury: *γραμματικοῦ* ⟨*γὰρ*⟩ Harder || **10** *ἐπιστήμων* G: *οὐκ ἐπιστήμων* Gen. Fabr.: ⟨*ὀλίγων*⟩ *ἐπιστήμων* dub. Bekk. Bury: ⟨*πλείστων*⟩ Harder || **16** *ἀνεῖλε* G: *ἔλυσε* dub. Bekk. || **17.18** *αὐτὴν ἀνεῖλεν* G: *αὐτῆς ἀφεῖλεν* Bury || **20** ⟨*τι*⟩ add. Bekk. | *εἰδότα* del. Bekk. | *παρὰ* — 21 *γραμματικόν* del. Harder || **27** *τε* om. A || **28** *ἐκ καταλήψεων* Bekk. Bury: *ἐγκαταλήψεως* LVrEDA: *ἐκκαταλήψεως* VCRGen.: *καταλήψεως* B: *ἐγκαταλήψεων* Fabr.

616
ψεων [τῶν περὶ τὸν γραμματικόν], ἐξ ἀνάγκης μηδενὸς
10 ἔχοντος πάντων τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγο-
μένων κατάληψιν ἀνύπαρκτος γίνεται ἡ γραμματική.
Χάρης δὲ ἐν τῷ πρώτῳ περὶ γραμματικῆς τὴν τελείαν 76
φησὶ γραμματικὴν ἕξιν εἶναι ἀπὸ τέχνης διαγνωστικὴν 5
15 τῶν παρ' Ἕλλησι λεκτῶν καὶ νοητῶν ἐπὶ τὸ ἀκριβέστατον,
πλὴν τῶν ὑπ' ἄλλαις τέχναις· τὸ τελευταῖον προσθεὶς οὐ
παρέργως· ἐπεὶ γὰρ τῶν παρ' Ἕλλησι λεκτῶν καὶ νοητῶν 77
τὰ μέν ἐστιν ὑπὸ τέχναις τὰ δ' οὔ, τῶν μὲν ὑπὸ τέχναις
οὐκ οἴεται τέχνην εἶναι καὶ ἕξιν τὴν γραμματικήν, οἷον 10
ἐν μὲν μουσικῇ τῆς διὰ τεσσάρων συμφωνίας καὶ τῆς
20 μεταβολῆς τῶν συστημάτων, ἐν δὲ μαθηματικῇ ἐκλεί-
ψεως ἢ τῆς τῶν κύκλων θέσεως· τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῶν
ἄλλων νοητέον τεχνῶν· οὐδενὸς γὰρ τῶν ὑπ' αὐταῖς εἴδη-
σις ἡ γραμματική, ἀλλὰ μέθοδός τίς ἐστι τῶν παρὰ ταύ- 15
τας ἑτέρων λεκτῶν τε καὶ νοητῶν, νοητῶν μὲν ὡς ὅτι 78
25 πίσυρες τέσσαρες καὶ 'βῆσσαι' καὶ 'ἄγκεα' οἱ βάσιμοι τόποι,
λεκτῶν δὲ τῶν περὶ τὰς διαλέκτους, οἷον ὅτι τοῦτο μὲν
εἴρηται Δωρικῶς τοῦτο δ' Αἰολικῶς, καὶ οὐχ ᾗπερ οἱ στωι-
κοὶ τὸ σημαινόμενον, ἀλλ' ἀνάπαλιν τὸ σημαῖνον· τὸ γὰρ 20
νοητὸν ἐπὶ τοῦ σημαινομένου [μόνου] παρείληπται. ἔοικε 79
30 δὲ καὶ Κρατήτειόν (F 17 Mette) τινα κινεῖν λόγον. καὶ
γὰρ ἐκεῖνος ἔλεγε διαφέρειν τὸν κριτικὸν τοῦ γραμματι-
κοῦ, καὶ τὸν μὲν κριτικὸν πάσης, φησί, δεῖ λογικῆς ἐπι-
617 στήμης ἔμπειρον εἶναι, | τὸν δὲ γραμματικὸν ἁπλῶς γλωσ- 25
σῶν ἐξηγητικὸν καὶ προσῳδίας ἀποδοτικὸν καὶ τῶν τού-
τοις παραπλησίων εἰδήμονα· παρὸ καὶ ἐοικέναι ἐκεῖνον
μὲν ἀρχιτέκτονι τὸν δὲ γραμματικὸν ὑπηρέτη.
5 Ἀλλὰ τὰ μὲν τῆς ἀποδόσεως τοιαῦτα, πῇ μὲν μετριώ- 80
τερα τῶν Διονυσίου ἀτοπημάτων πῇ δὲ χείρονα. ὅτι μὲν 30

**§ 76** *Χάρης* corruptum pro *Χαῖρις*, cf. schol. in Dion. Thr. 663, 10 anecd. Gr. Bekker = 118,10 Hilgard || **78** *β. ἄγκ.* Hom. *X* 190, cf. Et. M. | cf. M VIII 12 = fr. II 166 Arn. || **79** (v. 27.28) Aristot. metaphys. 981a 13 sqq. laudat Mette

**1** *τῶν – γραμματικόν* del. Heintz || **12** *μαθητικῇ* LVrD || **17** *ἄγκαια* L: *ἄγκρα* V: *ἄκρα* C: *ἄντρα* Herv. || **20** *ἀλλ'* om. V || **21** del. Theiler || **22** *λόγου* ED || **24** *τὸ μὲν* A || **25** *γλωσσῶν* om. AB, in marg. B

617
γὰρ τῆς σωρικῆς ἀπορίας ἐξέλυσε τὴν γραμματικὴν καὶ
τῶν ἀλλοτρίων κεχώρικε θεωρημάτων, μουσικῆς τε καὶ
μαθηματικῆς, ὡς μὴ προσηκόντων, αὐτόθεν συμφανές·
τοῦ δὲ μὴ ἀνυπόστατον ὑπάρχειν οὐδαμῶς αὐτὴν ἐρρύ- 10
5 σατο, ἀλλὰ καὶ εἰς τὸ εἶναι τοιαύτην μᾶλλον συνηγωνί-
81 σατο. ὁ μὲν γὰρ Διονύσιος κατά τι διώρισε τὸν τῆς γραμ-
ματικῆς ὅρον, ἐπὶ μόνων αὐτὴν ποιητῶν τε καὶ συγγρα-
φέων στήσας· οὗτος δὲ περὶ πᾶσαν Ἑλληνικὴν φωνὴν καὶ
περὶ πᾶν σημαινόμενον καταγίγνεσθαι ταύτην θέλει. ὅπερ, 15
10 εἰ θεμιτὸν εἰπεῖν, οὐδὲ θεοῖς ἀνυτόν ἐστιν. ὡς γὰρ καὶ πρό-
τερον ἐλέγομεν (PH II 78.89), οὐδεμία μέθοδος συνίσταται
περί τι ἄπειρον, ἀλλὰ καὶ μάλιστα αὕτη τοῦτο περατοῖ· τῶν
82 γὰρ ἀορίστων ἡ ἐπιστήμη δεσμός ἐστιν· τὰ δὲ σημαί-
νοντα καὶ σημαινόμενα τῶν πραγμάτων ἐστὶν ἄπειρα· 20
15 οὐκ ἄρα ἐστὶν ἡ γραμματικὴ τέχνη περὶ τὰ σημαίνοντα
καὶ σημαινόμενα. καὶ μὴν παντοῖαι γίνονται τῶν φωνῶν
μεταβολαὶ καὶ πρὸ τοῦ γεγόνασι καὶ εἰσαῦθις γενήσονται·
φιλομετάβολον γάρ τί ἐστιν ὁ αἰών, οὐκ εἰς φυτὰ μόνον
83 καὶ ζῷα ἀλλὰ καὶ εἰς ῥήματα. περὶ ἑστῶσαν δὲ ἀπειρίαν, 25
20 οὔ τοί γε καὶ μεταβάλλουσαν ἀμήχανόν ἐστι γνῶσιν ἀν-
θρωπίνην εὑρεῖν. οὐδὲ ταύτῃ ἄρα ἡ γραμματικὴ συστή-
σεται. ἄλλως τε ἤτοι τεχνικὴν οἴεται εἶναι τὴν ἕξιν ἢ
ἄτεχνον. καὶ εἰ μὲν τεχνικήν, πῶς οὐκ αὐτὴν εἶπε τέχνην
ἀλλὰ τὸ ἀφ' οὗ ἔστιν; εἰ δὲ ἄτεχνον, ἐπεὶ οὐ δυνατὸν 30
25 διὰ τοῦ ἀτέχνου τὸ τεχνικὸν ὁρᾶσθαι, οὐδὲ συστήσεταί |
τις γραμματικὴ ἕξις τεχνικῶς διαγινώσκουσα τὰ παρ' 618
Ἕλλησι σημαίνοντά τε καὶ σημαινόμενα.
84 Δημήτριος δὲ ὁ ἐπικαλούμενος Χλωρὸς καὶ ἄλλοι τι-
νὲς τῶν γραμματικῶν οὕτως ὡρίσαντο· 'γραμματικὴ

§ 84 *Δημήτριος Χλωρός* laudatur schol. in Nicandri theriac. 31, 16; 43, 4; 46, 20 Schneider-Keil

**2** *τε* om. C || **10** *θεμητόν ἐστιν ... ἀνυτὸν εἰπεῖν* D || **13** *ἡ* om. LVr || **19** *περὶ ἑστῶσαν* Bekk.: *περιεστῶσαν* G || **20** *οὗτοι* AB: *οὗτι* R: *οὔτι* cett. || **22** *τεχνικὴν* edd.: *τέχνην* G || **23** *εἶπε τέχνην* A Bekk.: *εἶπε τὴν τ.* cett. || **24** *ἀλλὰ καὶ τὸ* VC Herv.: *καὶ* alt. man. in marg. add. B || **25** *οὐδὲ* LVrAB: *οὐ* EDVCR || **28** *χλορός* L

5 ἐστι τέχνη τῶν παρὰ ποιηταῖς τε καὶ τῶν κατὰ τὴν κοινὴν συνήθειαν λέξεων εἴδησις'. μένουσι δὲ καὶ τούτοις αἱ αὐταὶ ἀπορίαι· οὔτε γὰρ πάντων τῶν παρὰ ποιηταῖς λεγομένων δύναται εἶναι τέχνη γραμματικὴ οὔτε τινῶν. καὶ πάντων μὲν αὐτόθεν ἀδύνατον, εἴγε καὶ περὶ θεῶν 85
10 καὶ περὶ ἀρετῆς καὶ ψυχῆς λέγεται παρὰ τοῖς ποιηταῖς, 6 ὧν ἀπείρως ἔχουσιν οἱ γραμματικοί· τινῶν δὲ διὰ τὸ μὴ εἰς τοὺς γραμματικοὺς τὸ τοιοῦτον πίπτειν μόνους ἀλλὰ καὶ ἄλλους τινάς, οἷον φιλοσόφους καὶ μουσικοὺς καὶ ἰατρούς· συνεώρων γὰρ καὶ οὗδε τινὰ τῶν παρὰ ποιηταῖς. 10
15 πάλιν τε ἐν τῷ λέγειν καὶ τῶν κατὰ τὴν κοινὴν συνήθειαν 86 λέξεων εἴδησιν εἶναι τὴν γραμματικὴν εἰ μὲν τὸ καθολικὸν λαμβάνοιεν τὸ 'εἴ τινές εἰσι κατὰ τὴν κοινὴν συνήθειαν λέξεις, ἐκείνων ἐστὶν εἴδησις ἡ γραμματική', ἁμαρτάνουσιν· ἄπειροι γὰρ αἱ κατὰ τὴν κοινὴν συνήθειαν λέ- 15
20 ξεις, καὶ τῶν ἀπείρων οὐκ ἔστιν εἴδησις. εἰ δὲ ἐπὶ τὸ ἐπὶ 87 μέρους φέροιντο, ὅπερ ἴσον ἐστὶ τῷ 'εἰσί τινες λέξεις κατὰ τὴν συνήθειαν τὴν κοινὴν ὧν εἴδησίς ἐστιν ἡ γραμματική', οὐδ' οὕτω ποιήσουσί τι τὴν γραμματικήν· καὶ γὰρ ὁ Ἀθηναῖος εἴδησιν ἔχει τῶν κατὰ τὴν Ἀτθίδα συνήθων 20
25 λέξεων, καὶ ὁ Δωριεὺς τῶν κατὰ τὴν Δωρίδα, καὶ ὁ ῥήτωρ τῶν κατὰ τὴν ῥητορικήν, καὶ ὁ ἰατρὸς τῶν κατὰ τὴν ἰατρικήν. εἰ δὲ λέγοιεν πασῶν τῶν κατὰ τὴν κοινὴν συνήθειαν 88 αὐτὴν λέξεων εἴδησιν οὐχ ὡς τῶν καθ' ἕκαστα καὶ ἐν μέρει πασῶν (τοῦτο γὰρ ὄντως ἀδύνατον), ἀλλὰ τῶν καθόλου 25
30 πασῶν καὶ ἀνωτάτω ἐν ταῖς διαλέκτοις, οἷον ὅτι Δωριέων μέν ἐστι τοιούτῳ τόνῳ χρῆσθαι, Ἰώνων δὲ ἄλλῳ, τάχα
619 μέν τι πιθανὸν ἐροῦσιν, οὐ μὴν ἀληθές· οὔτε γὰρ ἓν | ἔθος 89 ἐστὶ καθ' ἑκάστην διάλεκτον (πολλαὶ γὰρ Δωρίδες καὶ Ἀτθίδες), οὔτε οἱ κανόνες οὓς δοκοῦσι παραδιδόναι πρὸς 30 πᾶσαν ἀποτείνονται λέξιν, ἀλλ' ἄχρι μὲν ποσῶν καὶ ὁμοτόνων, οἷον ὀξυτόνων ἢ βαρυτόνων, προκόπτουσιν, πά-
5 σας δὲ περιλαβεῖν ἀδυνατοῦσιν.

**1** λε⟨γομένων⟩ pro τε ci. Harder || **2** τούτοις Fabr. Gen. D: τούτους cett. || **11** τε vulgo: δὲ A || **16** ἐπὶ ante τὸ om. LVr || **17** τὸ ς || **19** ποιήσουσι — 20 ἀθηναῖος om. LVr, in L al. man. in marg. addita || **21** Δώριον G: corr. Harder || **31** λέξει D

90 *Δείγματος μὲν οὖν χάριν ταῦτ' εἰρήσθω εἰς τὸ ἀνυπόστατον εἶναι τὴν γραμματικὴν ὅσον ἐπὶ τῇ παρὰ τοῖς γραμματικοῖς αὐτῆς ἐπινοίᾳ· μετελθόντες δὲ ἀκολούθως καὶ τὰ κυριώτατα τῶν ἐν αὐτῇ θεωρημάτων, καὶ ἐξ ὧν* 
5 *μάλιστα λαμβάνει τὴν ὑπόστασιν βασανίζωμεν.* 10

## *Τίνα μέρη γραμματικῆς*

91 *Πολλῆς οὔσης καὶ ἀνηνύτου παρὰ τοῖς γραμματικοῖς περὶ μερῶν γραμματικῆς διαστάσεως, ἵνα μήτε τὸ πάρεργον ἔργου χώραν ἐπέχειν ἡμῖν φαίνηται, μήτε εἰς ἀλλοτρίαν καὶ ὡς πρὸς τὸ παρὸν ἀνωφελῆ ἐμβαίνοντες ὕλην* 
10 *ἀπολειπώμεθα τῆς ἀναγκαιοτέρας ἀντιρρήσεως, ἀπαρ-* 15 *κέσει λέγειν ἀσυκοφαντητότερον ὡς ἄρα τῆς γραμματικῆς τὸ μέν ἐστιν ἱστορικὸν τὸ δὲ τεχνικὸν τὸ δὲ ἰδιαίτερον, δι' οὗ τὰ κατὰ τοὺς ποιητὰς καὶ συγγραφεῖς μεθοδεύεται.* 
92 *ὧν τεχνικὸν μέν ἐστιν ἐν ᾧ περὶ τῶν στοιχείων καὶ τῶν* 
15 *τοῦ λόγου μερῶν ὀρθογραφίας τε καὶ ἑλληνισμοῦ καὶ τῶν* 20 *ἀκολούθων διατάττονται, ἱστορικὸν δὲ ὅπου περὶ προσώπων οἱονεὶ θείων τε καὶ ἀνθρωπίνων καὶ ἡρωικῶν διδάσκουσιν, ἢ περὶ τόπων διηγοῦνται καθάπερ ὀρῶν ἢ ποταμῶν, ἢ περὶ πλασμάτων καὶ μύθων παραδιδόασιν ἢ* 
93 *εἴ τι τῆς αὐτῆς ἰδέας ἐστίν. ἰδιαίτερον δὲ τὸ κατὰ τοὺς* 25 
21 *ποιητὰς καὶ συγγραφεῖς [ἐπισκοποῦσι] καθ' ὃ τὰ ἀσαφῶς λεγόμενα ἐξηγοῦνται, τά τε ὑγιῆ καὶ τὰ μὴ τοιαῦτα κρίνουσι, τά τε γνήσια ἀπὸ τῶν νόθων διορίζουσιν. ἀλλ' ὡς μὲν τύπῳ καὶ ὁλοσχερέστερον περιλαβεῖν, ταῦτά ἐστι τὰ* 
94 *τῆς γραμματικῆς μέρη· νοητέον δὲ αὐτὰ οὐ κατ' εἰλικρί-* 30 
26 *νειαν, οὐδ' ὡς ἄν τις εἴποι 'μέρη τοῦ ἀνθρώπου ψυχὴ καὶ σῶμα'. ταυτὶ μὲν γὰρ ὡς ἕτερα ὄντα ἀλλήλων νοεῖται, τὸ δὲ | τεχνικὸν καὶ ἱστορικὸν καὶ τὸ περὶ τὰς ποιήσεις καὶ* 620 *συγγραφὰς τῆς γραμματικῆς μέρη πολλὴν ἔχει συμπλο-*

2 *τοῖς* om. A. in marg. add. || 4 *καὶ* vulgo: *ἐς* AB || 8 *χάρειν* D || 9 *ἐκβαίνοντες* mavult Harder || 20 *τὸ* G: *ᾧ τὰ* dub. Bekk.: *ἐν ᾧ τὰ* Bury || 21 del. Theiler || 22 *ὑγιῆ* — 23 *τά τε* om. D || 23.24 *ὡ μὲν τόπω* D || 26 *ψυχὴν* dub. Bekk. Bury: *ψυχὴ* G, defendit Mette || 28 *δὲ* om. AB

*κὴν καὶ ἀνάκρασιν πρὸς τὰ λοιπά· καὶ γὰρ ἡ τῶν ποιητῶν ἐπίσκεψις οὐ χωρὶς τοῦ τεχνικοῦ καὶ ἱστορικοῦ γίνεται μέρους, καὶ ἑκάτερον τούτων οὐ δίχα τῆς τῶν ἄλλων παραπλοκῆς συνέστηκεν. ὥσπερ οὖν οἱ λέγοντες τῆς ἰατρικῆς μέρη δίαιταν χειρουργίαν φαρμακείαν οὕτω λέγουσιν ὡς πολλῆς οὔσης ἐν τοῖς θεωρήμασιν ἀλληλουχίας (καὶ γὰρ ἡ δίαιτα οὐ χωρὶς φαρμακείας καὶ χειρουργίας πρό[σ]εισι, καὶ ἡ φαρμακεία πάλιν περιείχετο καὶ τῇ τῶν ἄλλων δυνάμει), ὧδε καὶ ἐπὶ τοῦ παρόντος οὐκ ἀπότακτόν τί ἐστιν ἕκαστον μέρος, οὐδ' εἰλικρινὲς ἀπὸ τῆς τῶν ἄλλων ἐπιμιξίας. τοῦτο δὲ προδιηρθρώσαμεν οὐ παρέργως, ἀλλ' ἵνα εἰδῶμεν ὡς ἂν ἕν τι ἐξ αὐτῶν δειχθῇ ἀσύστατον, δυνάμει καὶ τὰ λοιπὰ ἀνῄρηται, ὧν ἑκάτερον οὐ χωρὶς τοῦ ἀναιρεθέντος ὑφίσταται. ὅμως δὲ οὐ ποιήσομεν τοῦτο καίπερ ὂν σύντομον, ἀλλὰ πειρασόμεθα πρὸς ἕκαστον ἀντιλέγειν, ὡς εἰ καὶ μὴ ἔχρῃζε τῆς τῶν λοιπῶν παρουσίας. τάξει δὲ ἀρκτέον ἀπὸ τοῦ πρώτου.*

### *Ὅτι ἀμέθοδόν ἐστι καὶ ἀσύστατον τὸ τεχνικὸν τῆς γραμματικῆς μέρος*

*Διὰ πολλὰ μὲν καὶ ἄλλα δίκαιόν ἐστι μετὰ σπουδῆς ἐξετάζειν τὴν γραμματικὴν τεχνολογίαν, μάλιστα δὲ ἁπάντων διὰ τὸ ἐπ' αὐτῇ κομᾶν καὶ μέγα φρονεῖν τοὺς γραμματικούς, ἀεὶ δὲ τῶν κατὰ τὰ λοιπὰ κοσμουμένων μαθήματα κατατρέχειν ὡς μηδὲ τὴν κοινὴν τῶν Ἑλλήνων συνήθειαν ἐπισταμένων, καὶ ἔτι διὰ τό, εἴ ποτε θλίβοιντο ἐν ζητήσει, μὴ ἄλλην εὑρίσκειν πολλάκις ἀποφυγὴν εἰς τὸ περισπᾶν τοὺς συζητοῦντας αὐτοῖς ἢ τὸ ὅτι βάρβαρον ἢ σόλοικόν ἐστι τὸ ὑπ' αὐτῶν λεχθέν. οὐκ ὀλίγην δὲ ἂν ἔχοι μοῖραν εἰς προτροπὴν καὶ ὅταν βλέπωμεν τοὺς μηδὲ δύο σχεδὸν ῥήματα δεξιῶς εἴρειν δυναμένους γραμματικοὺς θέλοντας ἕκαστον τῶν μέγα δυνηθέντων ἐν εὐφρα-*

**1** *ἀνάκρασιν* Bekk.: *ἀνάκρισιν* G || **7** *χειρουργίας καὶ φαρμακείας* LVrED | *πρόεισι* Bekk.: *πρόσεισι* G || **10** *ἑκάστου* C || **12** *ἄν τι ἕν τι* C || **18** tit. *τῆς* om. B || **24** *ἀποφυγεῖν* LVr || **26** *ὀλίγων* A || **27** *ἔσχε* ED: *ἔχῃ* cett.: corr. Bekk.

δείᾳ καὶ ἑλληνισμῷ παλαιῶν, καθάπερ Θουκυδίδην Πλά-| τωνα Δημοσθένην, ὡς βάρβαρον ἐλέγχειν. μία γὰρ ἀντὶ 621 πάντων ἄμυνα γενήσεται πρὸς αὐτούς, ἐὰν τὴν ψευδώνυ-
99 μον αὐτῶν .τεχνολογίαν ἄτεχνον ἀποδείξωμεν. τάξει δὲ
5 λεκτέον ἡμῖν πρῶτον περὶ τῶν στοιχείων, ἐξ ὧν τὰ πάντα κατ' αὐτοὺς συνέστηκεν καὶ ὧν ἀναιρεθέντων ἀγραμμά- 5 τους ἀνάγκη γίνεσθαι τοὺς γραμματικούς.

Καὶ δὴ τριχῶς λεγομένου τοῦ στοιχείου, τοῦ τε γραφομένου χαρακτῆρος καὶ τύπου καὶ τῆς τούτου δυνάμεως
10 καὶ ἔτι τοῦ ὀνόματος, προαγέτω νῦν ἡ ζήτησις μάλιστα περὶ τῆς δυνάμεως· αὕτη γὰρ καὶ κυρίως στοιχεῖον παρ' 10
100 αὐτοῖς προσηγόρευται. εἰκοσιτεσσάρων τοίνυν στοιχείων ὄντων τῆς ἐγγραμμάτου φωνῆς, τούτων διττὴν ὑποτίθενται κατὰ τὸ ἀνωτάτω τὴν φύσιν. τὰ μὲν γὰρ αὐτῶν φω-
15 νάεντα προσαγορεύουσι τὰ δὲ σύμφωνα, καὶ φωνάεντα μὲν ἑπτά, α ε η ι ο υ ω, σύμφωνα δὲ τὰ λοιπά. τῶν δὲ 15 φωναέντων τρεῖς λέγουσι διαφοράς· δύο μὲν γὰρ αὐτῶν φύσει μακρὰ λέγουσι τυγχάνειν, τὸ η καὶ τὸ ω, ἰσάριθμα δὲ βραχέα, τὸ ε καὶ τὸ ο, τρία δὲ κοινὰ μήκους τε καὶ
20 βραχύτητος, α ι υ, ἅπερ δίχρονα καὶ ὑγρὰ καὶ ἀμφίβολα
101 καὶ μεταβολικὰ καλοῦσιν· ἕκαστον γὰρ αὐτῶν πέφυκεν 20 ὁτὲ μὲν ἐκτείνεσθαι ὁτὲ δὲ συστέλλεσθαι, οἷον τὸ μὲν α ἐπὶ τοῦ (Hom. *E* 31)

Ἆρες Ἄρες βροτολοιγὲ μιαιφόνε τειχεσιπλῆτα,

25 τὸ δὲ ι (Hom. *H* 20)

Ἴλιον εἰς ἱερήν· τῇ δ' ἀντίος ὤρνυτ' Ἀπόλλων, 25

τὸ δὲ υ (fr. anon. 391 Schneider, Callim. reiecit Pfeiffer)

θεσπέσιον νεφέων ἐκ Διὸς ὗεν ὕδωρ.

102 τῶν δὲ συμφώνων τὰ μὲν ἡμίφωνά ἐστι κατ' αὐτοὺς τὰ δὲ
31 ἄφωνα, καὶ ἡμίφωνα μὲν ὅσα δι' αὐτῶν ῥοῖζον ἢ σιγμὸν

**11** περὶ τῆς διαιρέσεως τῶν γραμμάτων in marg. ED | κυρίαν B || **12** αὐτῆς AB || **14.15** φωνήεντα bis ς || **17** φωνηέντων ς | λέγουσι VCR Bekk: ἄγουσι cett. || **18** τὸ ante ω om. LVrED || **24** ἄρες ἄρες ELBV: ἆρες ἄρες D

621
30 ἢ μυγμὸν ἤ τινα παραπλήσιον ἦχον κατὰ τὴν ἐκφώνησιν |
622 ἀποτελεῖν πεφυκότα, καθάπερ τὸ ζ θ λ μ ν ξ ρ σ φ χ ψ, ἢ
ὥς τινες, χωρὶς τοῦ θ καὶ φ καὶ χ τὰ λειπόμενα ὀκτώ·
ἄφωνα δέ ἐστι τὰ μήτε συλλαβὰς καθ' ἑαυτὰ ποιεῖν δυνά-
μενα μήτε ἤχων ἰδιότητας, αὐτὰ δὲ μόνον μετὰ τῶν ἄλ- 5
5 λων συνεκφωνούμενα, καθάπερ β γ δ κ π τ, ἢ ὥς ἔνιοι,
καὶ τὸ θ φ χ. καὶ μὴν κοινῶς τῶν συμφώνων πάλιν τὰ μὲν 103
φύσει δασέα λέγουσι τὰ δὲ ψιλά, καὶ δασέα μὲν θ φ χ, ψιλὰ δὲ
κ π τ· μόνον δέ φασι τὸ ρ ἐπιδέχεσθαι ἑκάτερον, δασύτητα
10 καὶ ψιλότητα. λέγουσι δέ τινα τῶν συμφώνων καὶ διπλᾶ, 10
καθάπερ τὸ ζ ξ ψ· συνεστηκέναι γάρ φασι τὸ μὲν ζ ἐκ
τοῦ σ καὶ δ, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ.

Τούτων δὴ προεστοιχειωμένων φημὶ πρῶτον μὲν ἀτό- 104
πως αὐτοῖς λέγεσθαι τῶν στοιχείων τινὰ εἶναι διπλᾶ. τὸ
15 γὰρ διπλοῦν σύστημά ἐστιν ἐκ δυοῖν, τὸ δὲ στοιχεῖον οὐκ 15
ἔστι σύστημα ἔκ τινων· ἁπλοῦν γὰρ ὀφείλει τυγχάνειν
καὶ οὐκ ἐξ ἑτέρων συστατόν. οὐκ ἄρα ἔστι διπλοῦν στοι-
χεῖον. ἄλλως τε, εἰ τὰ συστατικὰ τοῦ διπλοῦ στοιχείου
στοιχεῖά ἐστι, τὸ διπλοῦν ἐκ τῶν στοιχείων συνεστὼς οὐκ
20 ἔσται στοιχεῖον· ἀλλὰ μὴν τὰ συστατικὰ τοῦ διπλοῦ στοι- 20
χείου στοιχεῖά ἐστιν· οὐκ ἄρα τὸ διπλοῦν ἐστι στοιχεῖον.

Καὶ μὴν ὡς ταῦτα ἀναιρεῖται, οὕτω καὶ τὰ δίχρονα, κοι- 105
νὴν φύσιν μήκους τε καὶ βραχύτητος ἀξιούμενα ἔχειν. εἴπερ
γὰρ τοιαῦτά ἐστιν, ἤτοι αὐτὸ τὸ γράμμα κατ' ἰδίαν καὶ ὁ
25 ψιλός, εἰ τύχοι, τοῦ α ι υ χαρακτὴρ ἐμφανιστικός ἐστι τῆς 25
διχρόνου φύσεως, ⟨ἢ τὸ⟩ [καὶ] νυνὶ μὲν συστέλλεσθαι νυνὶ
δὲ ἐκτείνεσθαι δυνάμενον ⟨κοινὸν σὺν⟩ τῇ προσῳδίᾳ. ἀλλ' 106
ὁ μὲν χαρακτὴρ κατ' ἰδίαν οὐκ ἔστι κοινοῦ φύσει στοιχείου
μηνυτικός. οὔτε γὰρ ὅτι μηκύνεται οὔθ' ὅτι βραχύνεται
30 οὔθ' ὅτι τὸ συναμφότερον καὶ μηκύνεται καὶ βραχύνεται 30
ἐμφαίνει: ἀλλ' ὃν τρόπον ἡ δι' αὐτοῦ συλλαβή, καθάπερ
εἴρηται ἐπὶ τῆς Ἄρες λέξεως, οὐ χωρὶς τῆς προστιθε-

**5** ἰδιότητα Vr | αὐτὸ G: corr. Harder || **12** ῤ pro ξ B | καὶ post κ om. LVr || **13** δὲ LVr || **14** ⟨τὸ⟩ τῶν dub. Bekk. || **25** ᾱ ῑ ὁ χαρ. ED | ἐμφανιστικῶς AV || **26.27** add. et del. Theiler cl. Bekk. || **29** οὔθ' ὅτι τὸ — 30 βραχύνεται om. C || **32** οὐ dub. Bekk. Bury: ἢ G

μένης | προσῳδίας οὔτ' εἰ μακρά ἐστιν οὔτ' εἰ βραχεῖα γι- 623
νώσκεται, οὕτω καὶ τὸ α ι υ κατ' ἰδίαν λαμβανόμενα οὐ
107 κοινὰ ἑκατέρας ἔσται δυνάμεως ἀλλ' οὐδετέρας. λείπεται
οὖν σὺν προσῳδίᾳ λέγειν αὐτὸ κοινὸν ὑπάρχειν. ὃ πάλιν
5 ἐστὶν ἀμήχανον· προσλαμβάνον γὰρ ταύτην ἢ μακρὸν γί- 5
νεται, ὅτε ἔστι μακρά, ἢ βραχύ, ὅτε ἔστι βραχεῖα, κοινὸν
108 δὲ οὐδέποτε. οὐκ ἄρα ἔστι φύσει δίχρονα στοιχεῖα. εἰ δὲ
λέγοιεν κοινὰ φύσει ὑπάρχειν ταῦτα παρόσον ἐπιδεκτικά
ἐστιν ἑκατέρου, μήκους τε καὶ συστολῆς, λήσονται σχεδὸν
10 εἰς τὴν αὐτὴν ἐγκυλισθέντες ἀπορίαν. τὸ γὰρ ἐπιδεκτι- 10
κόν τινος οὐκ ἔσται ἐκεῖνο τὸ οὗπερ ἐπιδεκτικόν ἐστιν·
ὥσπερ γὰρ ὁ χαλκὸς ἐπιδεκτικὸς μέν ἐστι τοῦ ἀνδριὰς
γενέσθαι, οὐκ ἔστι δὲ ἀνδριὰς ἐφ' ὅσον ἐπιδεκτικός ἐστι,
καὶ ὃν τρόπον τὰ ξύλα ἐπιτήδειον μὲν ἔχει φύσιν εἰς τὸ
15 ναῦς γενέσθαι, οὔπω δὲ ἔστι ναῦς, οὕτω καὶ τὰ τοιαῦτα 15
τῶν στοιχείων ἐπιδεκτικὰ ⟨μέν⟩ ἐστι μήκους τε καὶ συ-
στολῆς, οὔτε δὲ μακρά ἐστιν οὔτε βραχέα οὐθ' ἑκάτερον
109 πρὶν ἀπὸ προσῳδίας ποιωθῆναι. πρός γε μὴν τοῖς λεχθεῖ-
σιν ἐναντίον ἐστὶν ἥ τε βραχύτης καὶ ἡ ἐπέκτασις καὶ οὐ
20 συνυφίσταται· ἀναιρέσει γὰρ τῆς βραχύτητος ἡ ἐπέκτασις 20
συνίσταται, καὶ ἀναιρουμένης μακρᾶς βραχεῖα γίνεται.
παρ' ἣν αἰτίαν ἀδύνατον περισπωμένην βραχεῖαν γενέσθαι,
διὰ τὸ τῷ περισπασμῷ κατ' ἀνάγκην συνυφίστασθαι τὴν
110 ἐπέκτασιν. διόπερ εἰ φύσει τι δίχρονόν ἐστι στοιχεῖον,
25 ἤτοι ὑφ' ἓν περὶ αὐτὸ ἥ τε τῆς βραχύτητος καὶ ἡ τῆς ἐπ- 25
εκτάσεως ὑποστήσεται δύναμις ἢ παρὰ μέρος. ἀλλ' ὑφ'
ἓν μὲν ἀμήχανον· περὶ γὰρ τὴν αὐτὴν ἐκφώνησιν κατὰ τὸ
αὐτὸ ἀναιρετικαὶ ἀλλήλων δυνάμεις οὐκ ἂν ὑποσταῖεν.
λείπεται ἄρα παρὰ μέρος. ὃ πάλιν ἐστὶν ἀπίθανον· ὅτε
30 γὰρ ἔστι μακρόν, τότε οὐκ ἔστι κοινὸν στοιχεῖον βραχύ- 30
τητος καὶ μήκους, ἀλλὰ βραχὺ μόνον. |

**1** οὔτε ἡ ... οὔτε ἡ AB || **10** ἐγγυλισθέντες LVr || **16** ⟨μὲν⟩ Bekk. || **25** ἤτοι pro ἥ τε D || **27** μὲν vulgo: καὶ AB || **30** μακρὸν G, v. infr.!: οὐκ ἔστι μακρὸν Gen. Fabr.: ὅτε γὰρ ἔστι μακρὸν ⟨καὶ ὅτε βραχύ⟩ et 31 ἀλλὰ ⟨μακρὸν μόνον καὶ⟩ βραχὺ μόνον. dub. Bekk.: ὅτε γὰρ ἔστι ⟨βραχὺ καὶ ὅτε ἔστι⟩ μακρόν et 31 βραχὺ μόνον ⟨καὶ μακρὸν μόνον⟩ Bury: 31 μακρόν ci. Theiler We.

624 Ὁ δ' αὐτὸς τῆς ἐπιχειρήσεως τρόπος γινέσθω καὶ ἐπὶ 111
τῶν φύσει ψιλῶν ἢ δασέων ἢ καθ' ἑκάτερον κοινῶν· ἡμῖν
δὲ ἀπόχρη τὸ γένος τῆς ἐπιχειρήσεως ὑποδεῖξαι.

Καὶ μὴν ἐπεὶ ἀνῄρηται τὰ κοινὰ καὶ δέδεικται τὸ ἐκ-
5 τείνεσθαι μόνον αὐτὰ ἢ συστέλλεσθαι, ἀκολουθήσει καὶ 5
τὸ δισσὸν ὑπάρχειν ἕκαστον, τὸ μὲν φύσει μακρὸν τὸ δ'
αὖ φύσει βραχύ. δισσοῦ οὖν ὄντος τοῦ α καὶ ι καὶ υ οὐ- 112
κέτι ἑπτὰ γενήσεται μόνον στοιχεῖα φωνάεντα, ὧν δύο
μὲν μακρά, τό τε η καὶ τὸ ω, δύο δὲ βραχέα, τὸ τε ε
10 καὶ τὸ ο, τρία δὲ δίχρονα, τό τε α καὶ ι καὶ υ, ἀλλὰ τὰ 10
σύμπαντα δέκα, καὶ τούτων τὰ πέντε μὲν μακρά, τό τε
η καὶ τὸ ω καὶ τὸ μακρὸν α καὶ ι καὶ υ, ἰσάριθμα δὲ τὰ
βραχέα, τὸ ο καὶ τὸ ε καὶ τὸ βραχὺ α καὶ ι καὶ υ. ἀλλ' 113
ἐπεὶ οὐ δύο μόνον ὑπειλήφασιν εἶναι προσῳδίας γραμμα-
15 τικῶν παῖδες, τήν τε μακρὰν καὶ βραχεῖαν, ἀλλὰ καὶ 15
ὀξεῖαν βαρεῖαν περισπωμένην δασεῖαν ψιλήν, ἕκαστον τῶν
ὑποδεδειγμένων φωναέντων ἔχον τινὰ τούτων κατ' ἰδίαν
προσῳδίαν γενήσεται στοιχεῖον· καὶ ᾧ λόγῳ οὐδὲν ἦν κοι-
νὸν μήκους τε καὶ βραχύτητος στοιχεῖον, ἀλλ' ἢ μακρὸν
20 μόνον, ὅτ' εἶχε τὴν μακράν, ἢ βραχύ, ὅτ' εἶχε τὴν βρα- 20
χεῖαν, τῷ αὐτῷ λόγῳ οὐδὲν ἔσται κοινὸν ὀξύτητος καὶ
βαρύτητος, ἀλλ' ἢ ὀξὺ μόνον, ὅτε προσειλήφει τὴν ὀξεῖαν,
ἢ βαρύ, ὅτε τὴν βαρεῖαν· καὶ ἐπὶ τῶν ἄλλων τὸ ἀνάλογον.
ἐπεὶ οὖν τὰ μὲν βραχέα δύ' ὄντα ἀνὰ πέντε ἐπιδέχεται
25 προσῳδίας, βραχεῖαν ὀξεῖαν βαρεῖαν δασεῖαν ψιλήν, δέκα 25
γενήσεται. τὰ δὲ μακρὰ πάλιν δύο ὄντα ⟨εἰ⟩ ἐκ περισσοῦ 114
προσλαμβάνει καὶ τὴν προσῳδίαν τὴν περισπωμένην (μη-
κύνεται γὰρ ταῦτα καὶ ὀξύνεται καὶ βαρύνεται καὶ δασύ-
νεται καὶ ψιλοῦται καὶ ἰδιαίτερον περισπᾶσθαι πέφυκε),
30 γενήσεται δώδεκα. τὰ δὲ κοινὰ τρία καθεστῶτα τὰς ἑπτὰ
προσῳδίας καθ' ἕκαστον ἐπιδέχεται, καὶ ταύτῃ γίνεται 31

§ 113—114 cf. schol. in Dionys. Thr. 776—777 anecd. Gr. Bekker = 32 sqq. Hilgard

1 γίνεσθαι ED || 9 τὸ ante ω et 10 ante ο om. A || 10 τε om. C || 17 φωνηέντων ς || 26 εἰ add. Herv. edd. || 28 καὶ βαρύνεται om. AB || 31 ταῦτα G: correxi sec. Bekk., qui nescit, an 30 ⟨εἰ⟩ τὰς legendum sit, quod Bury accipit

624

εἴκοσι καὶ ἕν· ὥστε πάντα τεσσαράκοντα καὶ τρία τυγχά- | νειν· οἷς τῶν δεκαεπτὰ συμφώνων προστιθεμένων ἑξή- 625 κοντα γίνεσθαι στοιχεῖα, ἀλλ' οὐκ εἰκοσιτέσσαρα.

115 Ἔστι δὲ καὶ ἕτερος λόγος καθ' ὃν ἀξιοῦται διαφόρως 5 τὰ φωνάεντα πάλιν στοιχεῖα ἐλάσσονα εἶναι τῶν παρὰ τοῖς γραμματικοῖς θρυλουμένων ἑπτά. εἰ γὰρ τὸ α κατ' 5 αὐτοὺς ἐκτεινόμενον καὶ συστελλόμενον οὐχ ἕτερόν ἐστι στοιχεῖον ἀλλ' ἓν κοινόν, ὡσαύτως δὲ καὶ τὸ ι καὶ τὸ υ, ἀκολουθήσει καὶ τὸ ε καὶ τὸ η ἓν εἶναι στοιχεῖον κατὰ 10 τὴν αὐτὴν δύναμιν κοινόν· ἡ γὰρ αὐτὴ δύναμις ἐπ' ἀμφοτέρων ἐστί, καὶ συσταλὲν μὲν τὸ η γίνεται ε, ἐκταθὲν 10 δὲ τὸ ε γίνεται η. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ ο καὶ τὸ ω μία στοιχείου γενήσεται φύσις κοινή, ἐκτάσει καὶ συστολῇ διαφέρουσα, ἐπείπερ τὸ μὲν ω μακρόν ἐστιν 116 [τὸ] ο, τὸ δὲ ο βραχύ ἐστιν ω. τυφλώττουσιν οὖν οἱ γραμ- 16 ματικοὶ καὶ τὸ ἀκόλουθον αὐτοῖς οὐ συνορῶσι, λέγοντες 15 ἑπτὰ φωνάεντα τυγχάνειν, πέντε μόνων ὄντων πρὸς τὴν φύσιν.

Καὶ ἀναστρόφως ἔσεσθαί τινά φασιν ἔνιοι τῶν φιλο- 20 σόφων πλείονα στοιχεῖα, διάφορον ἔχοντα δύναμιν τῶν συνήθως παραδιδομένων, οἷον καὶ τὸ αι καὶ τὸ ου καὶ πᾶν ὃ τῆς ὁμοίας ἐστὶ φύσεως. τὸ γὰρ στοιχεῖον κριτέον 20 μάλιστα, ὅτι στοιχεῖόν ἐστιν, ἐκ τοῦ ἀσύνθετον καὶ μονόποιον ἔχειν φθόγγον, οἷός ἐστιν ὁ τοῦ α καὶ ε καὶ ο καὶ 117 τῶν λοιπῶν. ἐπεὶ οὖν ὁ τοῦ αι καὶ ει φθόγγος ἁπλοῦς 26 ἐστι καὶ μονοειδής, ἔσται καὶ ταῦτα στοιχεῖα. τεκμήριον δὲ τῆς ἁπλότητος καὶ μονοειδείας τὸ λεχθησόμενον. ὁ μὲν 25 γὰρ σύνθετος φθόγγος οὐχ οἷος ἀπ' ἀρχῆς προσπίπτει τῇ αἰσθήσει, τοιοῦτος ἄχρι τέλους παραμένειν πέφυκεν, 30 ἀλλὰ κατὰ παράτασιν ἑτεροιοῦται, ὁ δὲ ἁπλοῦς καὶ ὄντως τοῦ στοιχείου λόγον ἔχων τοὐναντίον ἀπ' ἀρχῆς μέχρι τέ-

**1** *πέντε* pro *τρία* schol. Dion. Thrac. || **3** *γίνεσθαι* G: *γίνεται* dub. Bekk. Bury || **5** *φωνήεντα* ς || **6** *θρυλλουμένων* VAB || **8** *τὸ* ante *υ* om. L || **11** *μὲν* om. C || **12** *τρόπον γίνεται καὶ* A || **15** [*τὸ*] Bekk. || **16** *αὐτοῖς* G || **17** *φωνήεντα* ς || **23** *ἀσυνθέτου* VC || **25** *δίφθογγος* LVr || **27** *μονοειδέας* LVAB: *μονοειδείας* cett. || **30** *ὄντος* LVrVC

625

30 λους ἀμετάβολός ἐστιν. οἷον τοῦ μὲν ρα φθόγγου ἐν παρατάσει προφερομένου, δῆλον ὡς οὐχ ὡσαύτως αὐτοῦ κατὰ τὴν πρώτην πρό⟨σ⟩πτωσιν ἀντιλήψεται ἡ αἴσθησις |
626 καὶ κατὰ τὴν τελευταίαν, ἀλλὰ κατ' ἀρχὰς μὲν ὑπὸ τῆς ρ ἐκφωνήσεως κινηθήσεται, μεταῦθις δὲ ἐξαφανισθείσης 5 αὐτῆς εἰλικρινοῦς τῆς τοῦ α δυνάμεως ποιήσεται τὴν ἀντί-
5 ληψιν. ὅθεν οὐκ ἂν εἴη στοιχεῖον τὸ ρα καὶ πᾶν τὸ ἐοικὸς αὐτῷ. εἰ δὲ τὸν τοῦ αι φθόγγον λέγοιεν, οὐδὲν ἔσται 118 τοιοῦτον, ἀλλ' οἷον ἀπ' ἀρχῆς ἐξακούεται ⟨τὸ⟩ τῆς φωνῆς ἰδίωμα, τοιοῦτον καὶ ἐπὶ τέλει, ὥστε στοιχεῖον ἔσται 10 τὸ αι. τούτου δὲ οὕτως ἔχοντος, ἐπεὶ καὶ ὁ τοῦ ει φθόγγος καὶ ὁ τοῦ ου μονοειδὴς καὶ ἀσύνθετος καὶ ἀμετάβολος ἐξ
10 ἀρχῆς ἄχρι τέλους λαμβάνεται, ἔσται καὶ οὗτος στοιχεῖον.

Ἀλλὰ ἀφέμενοί γε ταύτης τῆς ζητήσεως ἐκεῖνο ἂν λέ- 119 γοιμεν, ὃ μᾶλλον δύναται θλίβειν τοὺς γραμματικούς. εἰ 15 γὰρ κοινὰ λέγεται στοιχεῖα τρία, α ι υ, διὰ τὸ ἐπιδεκτικὰ
15 τυγχάνειν μήκους τε καὶ συστολῆς, ἀκολουθήσει πᾶν στοιχεῖον κοινὸν εἶναι λέγειν· ἐπιδεκτικὸν γάρ ἐστι τῶν τεσσάρων προσῳδιῶν, βαρύτητος ὀξύτητος ψιλότητος δασύτητος. ἢ εἴπερ οὐχ ὑπομένουσι πᾶν στοιχεῖον κοινὸν εἶναι 20 λέγειν, μηδ' ἐκεῖνα λεγέτωσαν κοινὰ παρόσον ἐκτάσεως
20 καὶ συστολῆς ἐστὶν ἐπιδεκτικά.

Ἤρκει μὲν οὖν ἠπορημένων τῶν στοιχείων τῆς γραμ- 120 ματικῆς πέρας ἐπιτεθεικέναι τῇ ζητήσει· τίς γὰρ ἀπολείπεται λόγος περὶ τῶν μετὰ τὰς ἀρχὰς τοῖς τὰς ἀρχὰς 25 οὐκ ἔχουσι γραμματικοῖς; ὅμως δ' οὖν ἐνδοτέρω προχω-
25 ροῦντας οὐκ ἔστιν ἀλλότριον κἀκείνων δείγματος χάριν ἀποπειραθῆναι. καὶ ἐπεὶ ἐκ στοιχείων αἱ συλλαβαί εἰσι, ⟨τὰ⟩ περὶ τούτων ἐπισυνάπτωμεν.

## Περὶ συλλαβῆς

Πᾶσα οὖν συλλαβὴ ἢ μακρά ἐστιν ἢ βραχεῖα. μακρὰ 121 δὲ γίνεται, φασί, διχῶς, φύσει τε καὶ θέσει, φύσει μὲν 81
30 τριχῶς, ἢ ὅταν ἔχῃ στοιχεῖον φύσει μακρὸν ὡς ἐπὶ τῆς

3 πρόπτωσιν G: corr. Bekk. || 4 καὶ om. LVr || 5 ante ρ add. τοῦ Bekk. || 8 τὴν ED || 19 βαρύτης ὀξύτης C || 27 κἀκεῖνο LVr || 29 ⟨τὰ⟩ add. Heintz coll. p. 725, 29 (Bekk.). Bury || 32 ά in marg. VCB

ἠώς λέξεως, ἑκατέρα γὰρ τούτων τῶν συλλαβῶν ἐστι
μακρὰ διὰ τὸ τὴν μὲν τὸ η τὴν δὲ τὸ ω φύσει ἔχειν μα-
κρόν, ἢ | ὅταν ἐκ δυοῖν φωναέντων συνεστήκῃ ὡς ἐπὶ τῆς
αἰεί λέξεως, αἱ γὰρ δύο συλλαβαὶ μακραὶ τῷ ἑκατέραν ἐκ
5 δυοῖν φωναέντων ὑπάρχειν, ἢ ὅταν κοινὸν ἔχῃ τὸ στοι-
χεῖον μακροτόνως παρειλημμένον ὡς ἐπὶ τῆς "Ἄρης"· τὸ
122 γὰρ α δίχρονον νῦν μακροτόνως ἐκφέρεται. οὐκοῦν φύσει
τριχῶς μηκύνεται συλλαβή, θέσει δὲ πενταχῶς, ἤτοι ὅταν
εἰς σύμφωνα τῶν ἁπλῶν λήγῃ δύο, ἢ ὅταν ἡ μετ' αὐτὴν
10 συλλαβὴ ἀπὸ συμφώνων δύο ἄρχηται, ἢ ὅταν εἰς σύμφω-
νον λήγῃ καὶ ἀπὸ συμφώνου ἡ ἑξῆς ἄρχηται, ἢ ὅταν εἰς
διπλοῦν λήγῃ στοιχεῖον, ἢ ὅταν μετ' αὐτὴν διπλοῦν ἐπι-
123 φέρηται. εἰ δὴ πᾶσα συλλαβὴ ἤτοι μακρά ἐστιν ἢ βραχεῖα
κατὰ τοὺς ὑποδεδειγμένους τῆς τεχνολογίας τρόπους, ἐὰν
15 παραστήσωμεν μηδετέραν οὖσαν αὐτῶν, δῆλον ὡς οὐδὲ
λέξιν ἕξουσιν οἱ γραμματικοί· καθὰ γὰρ τῶν στοιχείων
ἀναιρουμένων συναναιροῦνται καὶ αἱ συλλαβαί, οὕτω καὶ
τῶν συλλαβῶν μὴ οὐσῶν οὔτε αἱ λέξεις γενήσονται οὔτε
κοινῶς τὰ τοῦ λόγου μέρη, διὰ δὲ τοῦτ' οὐδὲ λόγος.

124 Ἵν' οὖν ᾖ τις βραχεῖα συλλαβή, δεῖ προωμολογῆσθαι
21 ὅτι ἐλάχιστος καὶ βραχύς ἐστι χρόνος, ἐν ᾧ ὑφίσταται.
οὐκ ἔστι δὲ ἐλάχιστος χρόνος· πᾶς γὰρ εἰς ἄπειρον τέμνε-
ται, ὡς ἐν τοῖς ὕστερον δείξομεν· εἰ δὲ εἰς ἄπειρον τέμνε-
ται, οὐκ ἔστιν ἐλάχιστος. οὐκ ἄρα ἔσται βραχεῖα συλλαβὴ
25 βραχὺν ἔχουσα χρόνον. εἰ δὲ λέγοιεν νῦν βραχεῖαν καλεῖν
καὶ ἐλαχίστην συλλαβὴν οὐ τὴν πρὸς φύσιν ἐλαχίστην
οὖσαν ἀλλὰ τὴν πρὸς αἴσθησιν, ἑαυτοῖς προσαύξουσι τὴν
125 ἀπορίαν. τὰς γὰρ λεγομένας παρ' αὐτοῖς βραχείας συλ-
λαβὰς εὑρήσομεν ὡς πρὸς αἴσθησιν μεριστάς, οἷον τὴν ερ.
30 αἰσθητῶς γὰρ ἐπιβάλλομεν ἐπ' αὐτῆς ὅτι προεκφωνεῖται
τῆς τοῦ ρ δυνάμεως ἡ τοῦ ε δύναμις. καὶ ἐναλλάξαντες

§ 121 Ἄρης cf. § 101 || 124 δείξομεν e. g. M III 39

2 τὸ post διὰ om. VCRA | φύσιν AB || 3 β́ in marg. VCB | δυεῖν D | φωνηέντων ς || 5 δυεῖν LED | φωνηέντων LVrEDς | γ́ im marg. VB || 8—12 numeri ά—έ in marg. VB || 8 ἡ συλλαβή A || 10 ἄρχεται (η supra ε) V || 18 αἱ om. ς || 24 ἔστι βραχ. V

627
εἰ λέγοιμεν ρε, πάλιν ἀντιληψόμεθα ὅτι πρώτη μέν ἐστι
κατὰ τὴν τάξιν ἡ τοῦ ρ δύναμις, δευτέρα δὲ ἡ τοῦ ε.
ἐπεὶ οὖν πᾶν ὃ πρῶτον καὶ δεύτερον μέρος ἔχει πρὸς 126
628 αἴσθησιν, οὐκ ἔστιν ἐλάχιστον πρὸς αἴσθησιν, | φαίνεται
δὲ ἡ κατὰ τοὺς γραμματικοὺς βραχεῖα συλλαβὴ πρῶτον 5
καὶ δεύτερον ἔχουσα, οὐκ ἂν εἴη πρὸς αἴσθησιν ἐλαχίστη
καὶ βραχεῖα συλλαβή. μουσικοὶ μὲν γὰρ ἴσως
ἀλόγους τινὰς χρόνους καὶ φωνῶν παραυξήσεις δυνή-
5 σονται ἀπολιπεῖν· τοῖς δὲ μὴ χωροῦσι τὸ τοιοῦτον
βάθος γραμματικοῖς τῆς ἀπειρίας, ἀλλὰ [αὐτὸ] μόνον εἰς 10
βραχεῖαν καὶ μακρὰν διαιρουμένοις τὴν γενικὴν συλλαβήν,
οὐκ ἔστι συγγνωμονεῖν δίκαιον. οὐκοῦν ἀνυπόστατός
ἐστιν ἡ βραχεῖα συλλαβή.

10 Καὶ μὴν ἡ μακρὰ πάλιν ἔσται ἀνύπαρκτος· δίχρονον 127
μὲν γὰρ αὐτὴν εἶναι λέγουσι, δύο δὲ χρόνοι οὐ συνυπάρ- 15
χουσιν ἀλλήλοις. εἰ γὰρ δύο εἰσί, τούτῳ διορίζονται ὅτι
εἰσὶ δύο, τῷ τὸν μὲν ἐνεστηκέναι τὸν δὲ μή· εἰ δὲ ὃς
μὲν ἐνέστηκεν ὃς δὲ οὐκ ἐνέστηκεν, οὐ συνυπάρχουσιν
15 ἀλλήλοις. διόπερ καὶ ἡ μακρὰ συλλαβὴ εἴπερ ἐστὶ δίχρο- 128
νος, ὀφείλει, ὅτε μὲν αὐτῆς ἐνέστηκεν ὁ πρῶτος χρόνος, 20
τότε ὁ δεύτερος μὴ ἐνεστηκέναι, καὶ ὅτε ὁ δεύτερος ἐνί-
σταται, τότε ὁ πρῶτος μηκέτι εἶναι. ἀσυνυπάρκτων δὲ
αὐτῆς ὄντων τῶν μερῶν ὅλη μὲν οὐχ ὑφέστηκε, μέρος δέ
20 τι αὐτῆς. ἀλλὰ τό γε μέρος αὐτῆς οὐκ ἦν αὐτή, ἐπεὶ οὐ
διοίσει τῆς βραχείας ἡ μακρὰ συλλαβή. οὐκ ἄρα οὐδὲ 25
μακρά τις ἔστι συλλαβή. εἰ δὲ λέγοιεν κατὰ συμμνημό- 129
νευσιν νοεῖσθαι μακρὰν συλλαβὴν (τοῦ γὰρ προλεχθέντος
φθόγγου μνημονεύοντες καὶ τοῦ νῦν λεγομένου ἀντιλαμβα-
25 νόμενοι τὸ ἐξ ἀμφοτέρων συντιθέμενον μακρὰν ἐνενοή-

**6** *ἐλάχιστος* G: corr. Bekk. || **9** *⟨συγ⟩χωρ.* **malim: sana putat** Harder || **10** *ἀπειρίας* LVrEDR Fabr.: *ἀπορίας* ς Bekk.: 9—12 *τοῖς δὲ μὴ ⟨συγ⟩χωροῦσι τὸ τοιοῦτον πάθος γραμματικοῖς [τῆς ἀπορίας* transp. infra]. *ἀλλ' αὐτὸ μόνον εἰς βραχεῖαν καὶ μακρὰν διαιρουμένοις τὴν γενικὴν συλλαβήν, οὐκ ἔστι συγγνωμονεῖν δίκαιον ⟨τῆς ἀπορίας⟩* Shorey ClP 10 '15. 218sq.: 10 [*γραμματικοῖς*] *τῆς ἀπειρίας* Bury | *αὐτὸ* delevi, defendit Harder || **17** *δύω* EDLVB | *πρῶτον* pro *τῷ τὸν* C || **26** *μνημόνευσιν* A

σαμεν συλλαβήν) — εἰ δὴ τοῦτο λέγοιεν, οὐδὲν ἄλλο ἢ ἀνυπόστατον ὁμολογήσουσιν εἶναι τὴν τοιαύτην συλλα-
130 βήν. εἰ γὰρ ὑφέστηκεν, ἤτοι ἐν τῷ προαναφωνουμένῳ φθόγγῳ ὑφέστηκεν ἢ ἐν τῷ ἐπαναφωνουμένῳ. οὔτε δὲ
5 ἐν τῷ προαναφωνουμένῳ οὔτε ἐν τῷ ἐπαναφωνουμένῳ· 30 ἑκάτερος γὰρ αὐτῶν κατ' ἰδίαν μὴ ὑφεστὼς οὐδὲ τὴν ἀρχὴν συλλαβή ἐστιν· ὥστε οὐδὲ ὑφέστηκεν, ὑφεστῶσα δὲ | βραχεῖά ἐστιν ἀλλ' οὐ μακρὰ συλλαβή· οὔτε δὲ ἐν ἀμφο- 629 τέροις· ὁ γὰρ ἕτερος αὐτῶν τοῦ ἑτέρου ὑφεστῶτος οὐχ
10 ὑφέστηκεν, ἐκ δὲ τοῦ ὑπάρχοντος καὶ μὴ ὑπάρχοντος οὐδὲν ἔστιν ἐπινοῆσαι συγκείμενον ὡς ἐκ μερῶν. οὐκ ἄρα ἔστι τις μακρὰ συλλαβή. 5

131 Ἀνάλογον δὲ τούτοις ἐστὶ καὶ τὰ περὶ λέξεως καὶ τῶν τοῦ λόγου μερῶν ἀπορεῖσθαι ὀφείλοντα. πρῶτον μὲν γάρ, ὡς
15 μικρῷ πρότερον (§ 123) ὑπεδείκνυμεν, μὴ οὔσης συλλαβῆς μηδὲ λέξιν εἶναι δυνατόν· ἐκ συλλαβῶν γὰρ αἱ λέξεις λαμβάνουσι τὴν ὑπόστασιν. εἶτα καὶ κατὰ τὴν αὐτὴν 10 ἔφοδον ἐξέσται προηγουμένως ἐπ' αὐτῆς τῆς λέξεως τὰς αὐτὰς χειρίζειν ἀπορίας. ἢ γὰρ συλλαβή ἐστιν ἢ ἐκ συλ-
20 λαβῶν συνέστηκεν· ὅπως δ' ἂν ἔχῃ, τὰς ἐκκειμένας ἡμῖν
132 ἐπὶ τῆς συλλαβῆς ἀπορίας ἐπιδέξεται. ἀλλ' ὅμως ἵνα μὴ καινοτέρων ἐλέγχων ἀπορεῖν δοκῶμεν, προσφωνητέον τι 15 κἀνταῦθα τοῖς γραμματικοῖς.

Ὅταν γὰρ μέρη τινὰ λόγου καλῶσιν, οἷον ὄνομα ῥῆμα
25 ἄρθρον καὶ τὰ λοιπά, πόθεν λαβόντες; ἤτοι γὰρ ταῦτα ὅλον τὸν λόγον καλοῦσιν, ἢ ταῦτα μέρη ἐκείνου, μήτε δ' ἐκείνου ὡς ὅλου νοεῖσθαι δυναμένου μήτε τούτων ὡς με- 20 ρῶν ἐκείνου ⟨···⟩. λαμβανέσθω δὲ τὰ εἰς τὴν ὑπόθεσιν παραδείγματα, ὡς μὴ ἀπῶμεν τῶν τῆς γραμματικῆς θεωρη-

**1** τοῦ C ‖ **4** φθόγγῳ — ἢ omissis οὔτε VC | ἢ — 5 προαναφωνουμένῳ om., in marg. suppl. A | 4 οὔτε — 5 ἐπαναφωνουμένῳ om. ED ‖ **6** ἑκάτερον G: corr. Bekk. ‖ **7** ὑφεστὼς G: corr. sec. Herv. Bekk. Bury ‖ **15** μικρῷ πρότερον LVrEDVCR: μικρότερον AB Gen. ‖ **17** συλλαμβάνουσι ED: λαμβ. cett. Theiler We. ‖ **20** ἔχοι ς: ἔχει D ‖ **24** λόγου LVr: λόγον EDς | οἷς ABC ‖ **26** ὅλα G: corr. Bekk. | δ' del. Kayser sec. Herv. ‖ **28** lac. ind. Mette: ⟨οὐκ ἔσται ὁ λόγος οὐδὲ μέρη ἐκείνου⟩ supplendum? ‖ **29** ἀπῶμεν G: ἀποστῶμεν dub. Bekk.: ἀπίωμεν Bury

629
*μάτων. ἔστω τοίνυν ὑποθέσεως χάριν λόγος μὲν ὁ σύμπας* 133
*οὗτος ὁ στίχος·*

25 *μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος,*

*μέρη δὲ αὐτοῦ ταῦτα, τό τε μῆνιν προσηγορία καθεστώς,*
*καὶ τὸ ἄειδε ῥῆμα προστακτικόν, καὶ τὸ θεά προσηγορία* 5
*πάλιν θηλυκή, καὶ τὸ Πηληιάδεω ὄνομα πατρωνυμικόν,*
*πρὸς δὲ τούτοις καὶ τὸ Ἀχιλῆος ὄνομα κύριον. οὐκοῦν* 134
30 *ἤτοι ἄλλο τί ἐστιν ὁ λόγος παρὰ τὰ μέρη αὐτοῦ καὶ ἄλλα*
*τὰ μέρη παρὰ τὸν λόγον, ἢ τὸ ἄθροισμα τῶν μερῶν ὁ*
630 *λόγος ὑπείληπται. καὶ εἰ μὲν ἄλλο τι τῶν με|ρῶν ἐστιν ὁ* 10
*λόγος, αἰρομένων δηλονότι τῶν ἐκκειμένων τοῦ λόγου*
*μερῶν ὑπολειφθήσεται ὁ λόγος. τοσοῦτον δὲ ἀπέχει ὁ*
*προειρημένος στίχος τοῦ μένειν πάντων αἰρομένων αὐτοῦ*
*τῶν μερῶν, ὡς κἂν ἓν ὁδηποτοῦν αὐτοῦ μέρος ἀνέλωμεν,*
5 *οἷον τὸ μῆνιν ἢ τὸ ἄειδε, μηκέτι στίχος ὑπάρχειν. εἰ δὲ* 135
*τὸ ἄθροισμα τῶν τοῦ λόγου μερῶν νοεῖται λόγος, τῷ* 16
*μηδὲν εἶναι τὸν ἀθροισμὸν παρὰ τὰ ἠθροισμένα καθάπερ*
*καὶ τὸ διάστημα παρὰ τὰ διεστηκότα, οὐδὲν ὑπάρξει ὁ*
*λόγος οὗ νοηθήσεταί τινα μέρη. μηδενὸς δὲ ὄντος ὅλου*
10 *λόγου οὐδὲ μέρη τινὰ τούτου γενήσεται. ὥσπερ οὖν εἰ* 20
*μηδὲν ἔστιν ἀριστερόν, οὐδὲ δεξιὸν ἔστιν, οὕτως εἰ μὴ*
*ἔστι τι ὅλον λόγος, οὐδὲ τὰ μέρη ὑπάρξει. καθόλου τε,* 136
*εἰ τὸν ἀθροισμὸν τῶν τοῦ λόγου μερῶν ὅλον ἡγήσονται*
*λόγον, ἀκολουθήσει αὐτοῖς τὰ μέρη τοῦ λόγου ἀλλήλων*
15 *λέγειν εἶναι μέρη. εἰ γὰρ μηδὲν ὑπόκειται ὅλον παρ' αὐτὰ* 25
*οὗ γενήσεται μέρη, ἀλλήλων ἔσται μέρη. τοῦτο δὲ ὡς*
*ἔστιν ἀλογώτατον, σκοπῶμεν. τὰ γὰρ μέρη πάντως* 137
*ἐμπεριέχεται ἐκείνοις τοῖς ὧν λέγεται μέρη, ἴδιον τόπον*
*ἐπέχοντα καὶ ἰδίαν ὑπόστασιν ἔχοντα, ἐν ἀλλήλοις δὲ οὐκ*
20 *ἐμπεριέχεται. οἷον ἀνθρώπου μὲν μέρη χεῖρες καθεστᾶσι,* 30

§ **134** cf. M IX 338—339 || **135** cf. M IX 343 || **136**—**137** ~ M IX 345—346

**7** *πρὸς* om. C || **11** *αἰρουμένων* D || **13** *αἰρουμένων* LVr || **15** *ὑπάρχει* Gen. Fabr. || **19** *οὗ οὐ* Herv. || **24** *λόγων* B || **27** *πάντων* ED || **28** *ἐμπεριέχηται* ED | *τοῖς* delendum?: *τοῖς* ⟨*ὅλοις*⟩ Bury

χειρῶν δὲ δάκτυλοι καὶ δακτύλων ὄνυχες. διόπερ ἐν μὲν ἀνθρώπῳ χεῖρες περιέχονται, ἐν χερσὶ δε δάκτυλοι, ἐν δακτύλοις δὲ ὄνυχες, καὶ οὐχὶ μὲν ἡ δεξιὰ χεὶρ τὴν ἀριστερὰν συμπληροῖ, ὁ δὲ λιχανὸς τὸν ἀντίχειρα δάκτυλον ἀπαρ-
5 τίζει, ἡ δὲ κεφαλὴ τοὺς πόδας συντίθησι καὶ οἱ πόδες τὸν 25
138 θώρακα. ὅθεν καὶ τὰ μέρη τοῦ λόγου οὐ ῥητέον ἀλλήλων εἶναι μέρη, ἐπεὶ ἐν ἀλλήλοις αὐτὰ δεήσει περιέχεσθαι, τὸ μὲν μῆνιν ἐν τῷ ἄειδε, τὸ δὲ ἄειδε ἐν τῷ θεά, καὶ καθόλου πάντα ἐν πᾶσιν, ὅπερ ἀδύνατον. οὐ τοίνυν ἀλ-
10 λήλων τῶν τοῦ λόγου μερῶν δυναμένων εἶναι μερῶν διὰ 30 τὸ ἀνόητον τοῦ πράγματος, οὔτε ὅλου τινὸς εὑρισκομένου λόγου παρὰ τὰ ἑαυτοῦ μέρη, μηδενὸς [τε] εὑρισκομένου | πράγματος παρ' αὐτὰ τὰ μέρη οὗ λέξομεν εἶναι τὰ μέρη 631 λείπεται λέγειν ὡς οὐδέν ἐστι μέρος λόγου. διὰ δὲ τοῦτ'
15 οὐδὲ λόγος.

139 Ἐπακτέον δὲ καὶ οὕτως. εἴπερ τὸ μῆνιν μέρος ἐστὶ τοῦ στίχου, ἤτοι ὅλου τοῦ στίχου μέρος ἐστὶν ἢ τοῦ 5 'ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος.' ἀλλ' εἰ μὲν τοῦ ὅλου στίχου μέρος ἐστίν, ἐπεὶ ὅλος σὺν αὐτῷ τῷ μῆνιν νοεῖται,
20 καὶ ἑαυτοῦ μέρος συμπληρωτικὸν γενήσεται τὸ μῆνιν, διὰ δὲ τοῦτο καὶ μεῖζον ἑαυτοῦ καὶ ἧττον, μεῖζον μὲν ἑαυτοῦ ᾗ συμπληροῦται ὑφ' ἑαυτοῦ (τὸ γὰρ ὑπό τινος συμπλη- 10 ρούμενον μεῖζόν ἐστι τοῦ συμπληροῦντος αὐτό), ἔλασσον δὲ ᾗ συμπληροῖ ἑαυτό· τὸ γάρ τινος συμπληρωτικὸν
25 ἔλασσόν ἐστι τοῦ συμπληρουμένου. οὐ πάνυ δὲ ταῦτα πιθανά· οὐκ ἄρα τοῦ ὅλου στίχου μέρος ἐστὶ τὸ μῆνιν.
140 καὶ μὴν οὐδὲ τοῦ λειπομένου, φημὶ δὲ τοῦ 'ἄειδε θεὰ 15 Πηληιάδεω Ἀχιλῆος'. πρῶτον μὲν γὰρ τὸ μέρος περιέχεται ἐν τῷ οὗ ἐστι μέρος, τὸ δὲ μῆνιν οὐκ ἐμπεριέχεται ἐν

§ **139** ~ M IX 350 || **140—141** ~ M IX 351

**3** *οὐχὶ μὲν ἡ* LVrED: *οὐχ ἡ μὲν* ς || **4** *πληροῖ* ς || **5** *δὲ* om. B || **6** *οὐ ῥητέον* LVr: *εὐρητέον* EDς || **8** *τὸ δὲ ἄειδε* om. B || **12** pro *λόγου*: *πράγματος* delineatum L, qui homoeoteleuton omissurus negligenter correxit: *λόγου* om. Vr | *τε* del. Kayser || **16** *καὶ* om. D || **19** *ὅλως* VC | *τὸ* A || **22** *ἑαυτῶν* D || **27** *καὶ μὴν* om. D | *λειπομένους* B || **28** et p. 37, 6 *μέρη* D || **29** *ἐκπεριέχεται* LVrGen.

631 τῷ 'ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος', ὥστε οὐκ ἂν εἴη μέρος τούτου. εἶτα δὲ οὐδὲ τὸ 'ἄειδε θεὰ Πηληιάδεω 20 Ἀχιλῆος' χρῄζει συμπληρώσεως· κατὰ γὰρ τὸν ἴδιον λόγον συμπεπλήρωται. ἀλλὰ ὅλος ὁ λόγος, λέγω δὲ ὁ στίχος, οὐκ ἔστι τὸ 'ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος'. 5 τοίνυν οὐδὲ τούτου μέρος ἐστὶ τὸ μῆνιν. ἀλλ' εἰ μήτε τοῦ ὅλου στίχου μέρος ἐστὶ τὸ μῆνιν μήτε τοῦ ἀπολειπομένου 25 μέρους, παρὰ δὲ ταῦτα οὐδὲν ἄλλο ὑπόκειται, οὐδενὸς λόγου μέρος ἐστὶ τὸ μῆνιν.

Ταῦτα μὲν οὖν καθολικώτερον πρὸς τὰ μέρη τοῦ λό- 141 γου ῥητέον· ἐμβάντες δὲ εἰς τὰς κατὰ μέρος παρ' αὐτοῖς 11 περὶ τούτων τεχνολογίας πολὺν λῆρον εὑρήσομεν. καὶ 30 τοῦτο πάρεστι μαθεῖν οὐκ ἐπὶ τὴν πᾶσαν ὕλην φοιτήσαντας (ἀδόλεσχον γάρ ἐστι καὶ γραμματικῆς γραολογίας πλῆρες), ἀλλ' ὅμοιόν τι τοῖς οἰνοκαπήλοις ποιήσαντας, 15 632 καὶ | ὃν τρόπον ἐκεῖνοι ἐξ ὀλίγου γεύματος τὸν ὅλον δοκιμάζουσι φόρτον, οὕτω καὶ αὐτοὶ ἓν λόγου μέρος προχειρισάμενοι, καθάπερ τὸ ὄνομα, ἐκ τῆς περὶ τούτου τεχνολογίας συνοψόμεθα καὶ τὴν ἐν τοῖς ἄλλοις τῶν γραμματι- 5 κῶν ἐντρέχειαν. 20

## *Περὶ ὀνόματος*

Αὐτίκα τοίνυν ὅταν τῶν ὀνομάτων τὰ μὲν ἀρσενικὰ 142 φύσει λέγωσι τὰ δὲ θηλυκὰ τὰ δὲ οὐδέτερα, καὶ τὰ μὲν ἑνικὰ τῷ ἀριθμῷ τὰ δὲ δυϊκὰ τὰ δὲ πληθυντικά, καὶ ἤδη τὰς ἄλλας ἐπισυνείρωσι διαιρέσεις, ἐπιζητήσωμεν τί ποτέ 10 ἐστι τὸ ἐπιφωνούμενον τοῦτο 'φύσει'. ἢ γὰρ ὅτι οἱ πρῶτοι 143 ἀναφθεγξάμενοι τὰ ὀνόματα φυσικὴν ἐποιήσαντο τὴν 26 ἀναφώνησιν αὐτῶν ὡς καὶ τὴν ἐπὶ τῷ ἀλγεῖν κραυγὴν καὶ τὴν ἐπὶ τῷ ἥδεσθαι ἢ τῷ θαυμάζειν ἐκβόησιν, οὕτω λέγουσι φύσει τὰ μὲν τοιαῦτα εἶναι τῶν ὀνομάτων τὰ δὲ

§ **141** *ἀδόλεσχον — γραολογίας* cf. Chrysipp. ap. Galen. de plac. Hippocr. et Plat. 307, 7 Mueller

**5** *θεὰ* om. C || **7** ante *μήτε* add. *ἀλλ' εἰ* D || **12** *πολλῶν* D || **13** *φοιτήσαντα* ED || **15** *ποιήσαντας* Fabr. Bury: *ποιήσαντες* G || **17** *λόγον μέρος μέρος* L: *μέρος λόγου* E: *μέρη λόγου* D

τοιάδε· ἢ ὅτι καὶ ἐπὶ τοῦ παρόντος ἕκαστον αὐτῶν φυ- 15
σικῶς ἡμᾶς κινεῖ ὅτι ἀρρενικόν, κἂν ἡμεῖς μὴ νομίζωμεν
αὐτὸ ἀρρενικὸν εἶναι, καὶ πάλιν φυσικῶς αὐτὸ ἐνδείκνυται
144 ὅτι θηλυκόν ἐστι, κἂν ἡμεῖς μὴ θέλωμεν. ἀλλὰ τὸ μὲν
5 πρῶτον οὐκ ἂν εἴποιεν. πόθεν γὰρ γραμματικῇ παχύτητι
διαγινώσκειν πότερον φύσει ἢ θέσει τὰ ὀνόματα, ἢ τίνα 20
μὲν οὕτως τίνα δὲ ἐκείνως; ὅτε οὐδὲ τοῖς ἐπ' ἄκρον ἥκουσι
φυσιολογίας εὐμαρὲς εἰπεῖν διὰ τὰς ἑκατέρωθεν ἰσολογίας.
145 ἄλλως τε καὶ ἰσχυρὸς ἀντικάθηται τούτῳ λόγος, πρὸς ὃν
10 οὐδ' εἰ καταπέλτην ὑπομένοιεν, φασίν, οἱ γραμματικοὶ
δυνήσονταί τι συνιδεῖν ἱκνούμενον. εἴπερ γὰρ φύσει τὰ 25
ὀνόματα ἦν καὶ μὴ τῇ καθ' ἕκαστον θέσει ἐσήμαινεν,
ἐχρῆν πάντας πάντων ἀκούειν, Ἕλληνας βαρβάρων καὶ
βαρβάρους Ἑλλήνων καὶ βαρβάρους βαρβάρων. οὐχὶ δέ γε
15 τοῦτο· οὐκ ἄρα φύσει σημαίνει τὰ ὀνόματα. ὥστε τοῦτο
146 μὲν οὐκ ἐροῦσιν· εἰ δ' ὅτι φυσικῶς διαδείκνυσιν ἕκαστον 30
ὄνομα ὅτι ἀρρενικόν ἐστιν ἢ θηλυκὸν ἢ οὐδέτερον, φασὶ
τὰ μὲν τοιάδε τὰ δὲ τοιαῦτα τυγχάνειν, ἴστωσαν λειότε- |
147 ρον αὐτοῖς τρίβοντες τὸν κλοιόν. πάλιν γὰρ φήσομεν ὅτι τὸ 633
20 φύσει κινοῦν ἡμᾶς ὁμοίως πάντας κινεῖ, καὶ οὐχ οὓς μὲν
οὕτως οὓς δὲ ἐναντίως· οἷον φύσει τὸ πῦρ ἀλεαίνει, βαρ-
βάρους Ἕλληνας ἰδιώτας ἐμπείρους, καὶ οὐχ Ἕλληνας
μὲν ἀλεαίνει βαρβάρους δὲ ψύχει· καὶ ἡ χιὼν φύσει ψύ- 5
χει, καὶ οὐ τινὰς μὲν ψύχει τινὰς δὲ θερμαίνει. ὥστε τὸ
25 φύσει κινοῦν ὁμοίως τοὺς ἀπαραποδίστους ἔχοντας τὰς
148 αἰσθήσεις κινεῖ. τὰ δὲ αὐτὰ ὀνόματα οὐ πᾶσίν ἐστι τὰ
αὐτά, ἀλλὰ τοῖς μὲν ἀρρενικὰ τοῖς δὲ θηλυκὰ τοῖς δὲ οὐ-
δέτερα· οἷον Ἀθηναῖοι μὲν τὴν στάμνον λέγουσι θηλυ- 10
κῶς, Πελοποννήσιοι δὲ τὸν στάμνον ἀρρενικῶς, καὶ οἱ

§ **145** ∼ M I 37 || **146** *λειότερον* cf. Plut. de Herod. malign. 855 A || **147** cf. M VIII 187 || **148–154** = Cratetis Pergam. (Mallotae) F 64e (H. J. Mette, Parateresis, Halle 1952)

**5** *γὰρ* om. LVr || **8** *εὐμαρὲς εἰπεῖν φυσιολογίας* ς | *ἀμερὲς* D || **12** *ἐσήμαινεν* dub. Bekk.: *σημαίνει* G De Vogel || **17** *οὐθέτερον* LVrED || **18** *τελειότερον* Herv. || **19** an post *λειότερον* addendum sit ⟨*μέν, μακρότερον δὲ*⟩, dub. Kayser coll. Plut. l. c. || **25** *ἀπαραμποδίστους* LVr: *ἀπαρεμποδίστους* Fabr.

633
μὲν τὴν θόλον οἱ δὲ τὸν θόλον, καὶ οἱ μὲν τὴν βῶλον οἱ δὲ
τὸν βῶλον, καὶ οὐ διὰ τοῦτο οὗτοι ἢ ἐκεῖνοι λέγονται 149
ἁμαρτάνειν· ἕκαστος γάρ, ὡς τεθεμάτικεν, οὕτω χρῆται.
15 καὶ οἱ αὐτοὶ δὲ διαφόρως ταὐτὰ ὁτὲ μὲν ἀρρενικῶς ἐκ-
φέρουσιν ὁτὲ δὲ θηλυκῶς, λέγοντες τὸν λιμόν καὶ τὴν λι- 5
μόν. οὐκ ἄρα φύσει τῶν ὀνομάτων τὰ μὲν ἀρρενικὰ τὰ
δὲ θηλυκά, ἀλλὰ κατὰ θεματισμὸν τὰ μὲν τοιαῦτα γίνε-
ται τὰ δὲ τοιαῦτα. καὶ μὴν εἴπερ φύσει τῶν ὀνομάτων 150
20 ἦν τὰ μὲν ἀρρενικὰ τὰ δὲ θηλυκά, ὤφε<ι>λον αἱ ἀρρενικαὶ
φύσεις ἀεί ποτε ἀρρενικοῖς ὀνόμασι προσαγορεύεσθαι καὶ 10
αἱ θηλυκαὶ θηλυκοῖς καὶ αἱ μήτε ἀρρενικαὶ φύσεις μήτε
[αἱ] θηλυκαὶ οὐδετέρως. οὐχὶ δὲ τοῦτο, ἀλλὰ καὶ τὰς ἀρ- 151
ρενικὰς φύσεις θηλυκῶς καλοῦμεν καὶ τὰς θηλυκὰς ἀρρε-
25 νικῶς καὶ τὰς οὔτε ἀρρενικὰς οὔτε θηλυκὰς ἤτοι ἀρρενι-
κῶς ἢ θηλυκῶς, οὐχὶ δὲ οὐδετέρως· οἷον κόραξ μὲν λέγε- 15
ται ἀετός κώνωψ κάνθαρος σκορπίος μῦς ἀρρενικῶς καὶ
ἐπὶ τοῦ θήλεος, καὶ πάλιν χελιδών χελώνη κορώνη ἀκρίς
μυγαλῆ ἐμπίς καὶ ἐπὶ τοῦ ἄρρενος τὴν φύσιν θηλυκῶς·
30 ὡσαύτως δὲ κλίνη θηλυκῶς ἐπὶ τῆς μήτε ἄρρενος μήτε 152
θηλείας τὴν φύσιν, καὶ στῦλος ἀρρενικῶς ἐπὶ τοῦ οὐδε- | 20
634 τέρου. τοίνυν εἰ φύσει οὐδέν ἐστιν ἀρρενικὸν ἢ θηλυκὸν
ὄνομα, ζητῶ πῶς ὁ γραμματικὸς ἐπιλήψεται τοῦ διαστρό-
φως λέγοντος ὁ χελιδών καὶ ἡ ἀετός. ἤτοι γὰρ ὡς φύσει
τοῦ ὀνόματος τῆς χελιδόνος θηλυκοῦ ὄντος, ἐκείνου δὲ
5 ἀρρενικὸν αὐτὸ τῷ ἄρθρῳ βιαζομένου γενέσθαι, ἢ ὡς τῆς 25
κοινῆς συνηθείας θηλυκὸν αὐτὸ θεματισάσης ἀλλ᾽ οὐκ
ἀρρενικόν. ἀλλ᾽ εἰ μὲν ὡς φύσει θηλυκοῦ καθεστῶτος, 153
ἐπεὶ οὐδὲν φύσει θηλυκόν ἐστι καθὼς παρεστήσαμεν,
ἀδιάφορον τὸ ὅσον ἐπὶ τούτῳ ἐάν τε οὕτως ἐάν τε ἐκείνως
10 ἐκφέρηται· εἰ δ᾽ ὡς ὑπὸ τῆς κοινῆς συνηθείας ἀντὶ θη- 30

**§ 149—153 v. ad 148**

**2** *λέγεται* A || **4** *δὲ* om. LVr | *ταῦτα* ABV || **9** *ἦν τὰ μὲν* EDLVr: *τὰ μὲν ἦν* ς | *ὤφελον* G: corr. Bekk. || **11** *θηλυκαὶ* om. C | *αἱ μήτε* scripsi: *μήτε αἱ* G || **12** *αἱ* delevi | *οὐθετέρως* LVr: *οὐχ᾽ ἑτέρως* ED || **15** *κώραξ* V || **16** *κόνωψ* A: *κώνοψ* B || **18** *μυγαλή* G, sed — *λῆ* corr. A: *μυγάλη* Gen. Fabr. || **19** *ὡσαύτως — θηλυκῶς* om. ED || **20** *στύλος* EDL || **24** *χελιδῶνος* ED

634

λυκοῦ θεματισθέν, γενήσεται τοῦ τε εὖ λεγομένου καὶ
μὴ κριτήριον οὐχὶ τεχνικός τις καὶ γραμματικὸς λόγος
ἀλλ' ἡ ἄτεχνος καὶ ἀφελὴς τῆς συνηθείας παρατήρησις.
154 Τὰ δὲ αὐτὰ ταῦτα μετακτέον καὶ ἐπὶ τὰ ἑνικὰ καὶ
5 πληθυντικὰ τῶν ὀνομάτων. Ἀθῆναι γὰρ λέγονται πλη- 15
θυντικῶς ἡ μία πόλις καὶ Πλαταιαί, καὶ πάλιν Θήβη ἑνι-
κῶς καὶ Θῆβαι πληθυντικῶς, καὶ Μυκήνη καὶ Μυκῆναι.
ῥηθήσεται δὲ ἐπιμελέστερον περὶ τῆς ἐν τούτοις ἀνωμα-
λίας προβαινούσης τῆς ζητήσεως.
10 Τὰ νῦν δὲ ἐπεὶ καὶ ὑποδειγματικῶς κατωπτεύκαμεν 20
τὴν ἐν τούτοις τῶν γραμματικῶν ἀκρίβειαν, φέρε κἀκεῖνο,
155 πρὶν ἐπ' ἄλλον τ[ρ]όπον ἀπελθεῖν, ἐξετάσωμεν, φημὶ δὲ
τίνα λόγον καλοῦσιν ἢ μέρη λόγου.

*Περὶ λόγου καὶ μερῶν λόγου*

Ἤτοι γὰρ αὐτὴν τὴν σωματικὴν φωνὴν ἐροῦσιν ἢ ἀσώ-
15 ματον λεκτόν, διαφέρον ταύτης. οὔτε δὲ τὴν φωνὴν ἐροῦσιν· 25
ταύτης μὲν γὰρ ῥηθείσης πάντες ἀκούουσιν, Ἕλληνές τε
καὶ βάρβαροι καὶ ἰδιῶται καὶ οἱ παιδείας ἐντός, τοῦ δὲ
λόγου καὶ τῶν τούτου μερῶν Ἕλληνες μόνοι καὶ οἱ τούτου
ἔμπειροι. τοίνυν οὐχ ἡ φωνή ἐστιν ὁ λόγος καὶ μέρη λόγου.
156 καὶ μὴν οὐδὲ τὸ ἀσώματον λεκτόν. πῶς γὰρ ἀσώματον 30
21 ἔτι ἔστι τι ἄλλο τοιοῦτο παρὰ τὸ σῶμα καὶ τὸ κενόν,
πολλῆς | καὶ ἀνηνύτου γενομένης παρὰ τοῖς φιλοσόφοις 635
περὶ αὐτοῦ διαμάχης; εἰ μὲν γὰρ κινεῖται, σῶμά ἐστιν·
τὸ γὰρ κινούμενον σῶμα· εἰ δὲ μένει, δεχόμενον μὲν τὰ
25 εἰς αὐτὸ φερόμενα σώματα καὶ μὴ ἀντιτυποῦν κενὸν γε-
νήσεται, κενοῦ γὰρ ἴδιον τὸ μὴ ἀντιτυπεῖν, ἀντιτυποῦν δὲ 5
τοῖς εἰς αὐτὸ φερομένοις σῶμά ἐστιν, ἰδίωμα γὰρ σώμα-
157 τος τὸ ἀντιτυπεῖν. ἄλλως τε ὁ λέγων ἀσώματόν τι λεκτὸν
ὑπάρχειν ἤτοι φάσει μόνον ἀρκούμενος λέγει ἢ ἀπόδει-

§ **154** v. ad **148** || **157** ~ M VIII 76—77 et 444, cf. PH II 107—108

**5** ἀθηναῖοι LVrC || **7** μηκῆναι EDR: μὴ κῦναι C || **11** γραμμά-
των ς || **12** del. Theiler | ἀπελθεῖν A edd.: ἐπελθεῖν cett. || **13** τίνι
Vr || **14** tit. ς || **15** λεκτέον A || **16** ἀκούσιον C || **17** ἰδιῶτα B || **19** οὐχὶ
pro οὐχ ἡ VC || **21** τοιοῦτον ED || **22** ἀνηνύτη (ους / οις supra) R

635
ξιν παραλαμβάνων. ἀλλὰ φάσει μὲν ἀρκούμενος ἐν ἀντι-
10 φάσει ἐπισχεθήσεται· ἀπόδειξιν δὲ παραλαμβάνων, ἐπεὶ
καὶ αὐτὴ δι' ἀναμφισβητήτων ὀφείλει λημμάτων προάγειν,
τὰ δὲ λήμματά ἐστι λεκτά, προαρπάζων τὸ ζητούμενον
ὡς ὁμολογούμενον ἄπιστος ἔσται. παρ' ἣν αἰτίαν λοιπόν, 158
εἰ μήτε ἡ φωνὴ λόγος ἐστὶ μήτε τὸ σημαινόμενον ὑπ' αὐ- 6
15 τῆς ἀσώματον λεκτόν, παρὰ δὲ ταῦτα νοεῖν οὐδὲν ἐνδέχε-
ται, οὐδέν ἐστι λόγος.

Ἔστω δὲ νῦν καὶ ὁ λόγος καὶ μέρη τούτου ὁπόσα θέ-
λουσιν οἱ γραμματικοὶ ὑπάρχειν. ἀλλ' εἰπάτωσάν γε ἡμῖν 10
πῶς τὸν λόγον μερίζουσιν.

## Περὶ μερισμοῦ

20 Ἐπεὶ γὰρ τὸν μερισμὸν τὸν τῶν ⟨ἐμ⟩μέτρων ἐν δυσὶ 159
μάλιστα τοῖς ἀναγκαιοτάτοις κεῖσθαι συμβέβηκεν, ἔν τε
τῷ βαίνειν, τουτέστι τῇ εἰς τοὺς πόδας διανομῇ, καὶ ἐν
τῇ εἰς τὰ τοῦ λόγου μέρη διαιρέσει, ἀκόλουθον μὲν ἂν 15
ἦν τοῖς τελέως πρὸς αὐτοὺς ἀντιλέγουσιν ἑκάτερον κινεῖν,
25 τόν τε τρόπον τοῦ βαίνειν, σκελίσαντας αὐτῶν ἅπαντας
τοὺς οἷς βαίνουσι πόδας ὡς ἀνυπάρκτους, καὶ ἔτι τὸν
τρόπον τῆς τῶν τοῦ λόγου μερῶν διανομῆς, δείξαντας τὸ
ἀδύνατον τῆς διαιρέσεως. ἀλλ' ἐπεὶ κἀν τοῖς πρὸς τοὺς 160
μουσικοὺς (M VI 60–67) προηγουμένως περὶ ποδῶν 21
ζητοῦμεν, ἵνα μὴ προλαμβάνωμεν τὰ μελλήσοντα πρὸς
30 ἐκείνους λέγεσθαι ἢ μὴ δὶς τὰ αὐτὰ λέγωμεν, ταύτην μὲν
636 τὴν ἀπορίαν εἰς τὸν δέοντα καιρὸν ὑπερθη|σόμεθα, περὶ
δὲ τῆς διαιρέσεως τῶν τοῦ λόγου μερῶν σκεψώμεθα. 25

Ὁ οὖν μερίζων τινὰ στίχον τὰ μὲν ἀφαιρεῖ τὰ δὲ προσ- 161
τίθησι, καὶ ἀφαιρεῖ μὲν τὸ μῆνιν, εἰ τύχοι, χωρίζων τοῦ
5 παντὸς στίχου, καὶ πάλιν τὸ ἄειδε καὶ τὰ λοιπὰ μέρη,
προστίθησι δὲ τοῖς κατὰ συναλοιφὴν ἐκφερομένοις, οἷον
τῷ 'αἷμ' ἐμέων' (Hom. *O* 11) τὸ α, τὸ γὰρ πλῆρες ἦν 30

**3** *ἀνασφιτήτων* LVr: *ἀναμφισβήτων* C ‖ **4** *προαρπάζον* ς ‖ **11** *διαμερίζουσιν* Gen. Fabr. ‖ **12** *⟨ἐμ⟩ μ.* Kayser ‖ **15** *ἂν* LVr Fabr.: om. EDς ‖ **26** hic 12–20 perp. iterat D | *περὶ προσθέσεως καὶ ἀφαιρέσεως* tit. EDV | *οὖν – προστίθησι* om. ED ‖ **30** *τὸ αἷμ'* ς

'αἷμα ἐμέων', καὶ πάλιν τῷ 'βῆ δ' ἀκέων' (Hom. *Α* 34) τὸ ε, κατὰ γὰρ ἐκπλήρωσιν οὕτως εἶχε 'βῆ δὲ ἀκέων.' μηδενὸς μέντοι μήτε ἀφαιρεῖσθαι δυναμένου ἀπό τινος 10 μήτε προστίθεσθαί τινι πεφυκότος ἀδύνατος γίνεται ὁ 5 κατὰ γραμματικὴν μερισμός.

## Περὶ ἀφαιρέσεως

162 Τὸ δὲ ὅτι οὐδὲν οὐδενὸς ἀφαιρεῖται μάθοιμεν ἂν τὸν τρόπον τοῦτον. εἰ γὰρ ἀφαιρεῖταί τι ἀπό τινος, ἢ ὅλον ἀφ' ὅλου ἀφαιρεῖται ἢ μέρος ἀπὸ μέρους ἢ ὅλον ἀπὸ μέρους ἢ μέρος ἀπὸ ὅλου. ὅλον μὲν οὖν ἀπὸ ὅλου οὐκ ἀφαι- 15 10 ρεῖται· ἑνὸς γὰρ ὑποκειμένου στίχου, εἰ ὅλον ἐστὶ τὸ ἀφαιρούμενον, ὅλον στίχον ἀφελοῦμεν. καὶ οὕτως εἰ μὲν ἔτι μένοι ὁ στίχος ἀφ' οὗ ἡ ἀφαίρεσις, οὐδὲ ὅλως ἔσται γεγονυῖά τις ἀφαίρεσις ἀπ' αὐτοῦ· πῶς γὰρ ἔτι μένειν οἷόν τέ ἐστι τὸ ὅλον, εἴπερ ἀφῄρηται; εἰ δὲ μὴ μένοι, 20 15 δῆλον ὡς ἐκ τοῦ μὴ ὄντος οὐκ ἔστι πάλιν γεγονυῖα ἀφαί- 163 ρεσις. ὥστε ὅλον ἀπὸ ὅλου οὐκ ἀφαιρεῖται. καὶ μὴν οὐδὲ ὅλον ἀπὸ μέρους· ἐν μὲν γὰρ τῷ μέρει οὐκ ἐμπεριέχεται τὸ ὅλον, οἷον τῷ μῆνιν τὸ '⟨μῆνιν⟩ ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος', τὸ δὲ ἀφαιρούμενον ὀφείλει ἐμπεριέχεσθαι τῷ 25 20 τὴν ἀφαίρεσιν ἐπιδεχομένῳ. λείπεται ἄρα ἢ μέρος ἀφ' ὅλου ἢ μέρος ἀπὸ μέρους ἀφαιρεῖσθαι. ἀλλὰ καὶ τοῦτ' ἄπορον. τὸ γὰρ μῆνιν εἰ μὲν ἀφ' ὅλου ἀφαιρεῖται τοῦ στίχου, καὶ ἀπὸ αὐτοῦ ἀφαιρεῖται· σὺν αὐτῷ γὰρ ὅλος ὁ στίχος ἐνοεῖτο. καὶ ἄλλως, εἰ ἀφ' ὅλου ἀφαιρεῖται, τὸ δ' 30 25 ὅλον ἦν 'μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος', ὤφειλεν ἠλαττῶσθαι καὶ | τὸ 'ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος' καὶ 637 μὴ μένειν ἐν τῷ αὐτῷ, παντὸς τοῦ ἀφαίρεσιν ἐπιδεξαμέ- 164 νου μὴ μένοντος ἐν ταὐτῷ. ἐχρῆν δὲ καὶ αὐτὸ τὸ μῆνιν,

**§ 162—163** cf. M IX 308—311 et 318—319

**6.7** τόνδε τὸν τρόπον ς edd. || **8.9** ἢ ὅλον ἀπὸ μέρους om. EDC || **12** μένει EDς edd. || **14** μένδὶ RV: μένει ABC || **18** ⟨...⟩ Heintz || **23** ἀπὸ αὐτοῦ ABV: sic LE (?) Bekk. || **24** ἐννοιεῖτο L: ἐνοεῖται D || **27** αὐτῷ om. B

637

ἀφ' ὅλου ἐκείνου λαμβάνον τὴν ἀφαίρεσιν, ἔχειν τι ἐξ
5 ἑκάστου τῶν ἐν ἐκείνῳ, ὃ πάλιν ἐστὶ ψεῦδος. εἰ οὖν μήτε
ὅλον στίχον ἀπὸ στίχου δυνατὸν μερίζειν μήτε μέρος
στίχου ἀπὸ μέρους μήτε ὅλον ἀπὸ μέρους μήτε μέρος
ἀφ' ὅλου, καὶ παρὰ ταῦτα οὐδὲν ἐνδέχεται ποιεῖν, ἀδύνα- 5
τος τῷ γραμματικῷ ὁ μερισμός.

## Περὶ προσθέσεως

10 Οὐ μὴν ἀλλὰ καὶ ἡ κατὰ τὰς συναλειπτικῶς ἐκφερομέ- 165
νας λέξεις τινῶν πρόσθεσις οὐκ ἔσται. καὶ τοῦτ' ἔσται
σαφές, ἂν μὴ ἐπὶ συλλαβῶν ἢ στοιχείων χειρίζηται ὁ
λόγος, ὧν μάλιστα τὰς προσθέσεις ἐν τοῖς μερισμοῖς 10
ποιοῦνται οἱ γραμματικοί, ἀλλ' ἐπὶ ὅλων λέξεων. ὑποκει-
15 μένου τοίνυν ἡμιστιχίου τοῦ 'ἄειδε θεὰ Πηληιάδεω
Ἀχιλῆος' (ἔστω γὰρ πρὸς τὸ παρὸν τουτὶ ἡμιστίχιον,
καὶ προσλαμβανέτω τὸ μῆνιν, ὥστε τὸ ἐξ ἀμφοτέρων
ἡρωικὸν γίνεσθαι μέτρον) ζητοῦμεν τίνι ἡ πρόσθεσις γί- 15
νεται· ἤτοι γὰρ ἑαυτῷ τὸ μῆνιν προστίθεται ἢ τῷ προϋ- 166
20 ποκειμένῳ ἡμιστιχίῳ ἢ τῷ ἐξ ἀμφοτέρων ἀποτελεσθέντι
ἡρωικῷ μέτρῳ. καὶ ἑαυτῷ μὲν οὐκ ἂν προστεθείη· μὴ
ὂν γὰρ ἕτερον ἑαυτοῦ καὶ μὴ διπλασιάζον ἑαυτὸ οὐκ ἂν
λέγοιτο ἑαυτῷ προστίθεσθαι. τῷ δὲ προϋποκειμένῳ 20
ἡμιστιχίῳ πῶς ἐνδέχεται; ὅλῳ μὲν γὰρ αὐτῷ προστιθέ-
25 μενον καὶ αὐτὸ παρισαζόμενον ἐκείνῳ ἡμιστίχιον γενή-
σεται, ταύτῃ τε ἀκολουθήσει καὶ τὸ μέγα ἡμιστίχιον λέ- 167
γειν εἶναι βραχύ, βραχεῖ συνεξισούμενον τῷ μῆνιν, καὶ
τὸ βραχὺ μέγα, μείζονι ἀντιπαρῆκον τῷ ἡμιστιχίῳ, εἴπερ 25
τῷ παντὶ ἡμιστιχίῳ προστίθοιτο τὸ μῆνιν. ⟨εἰ δὲ μέρει

§ 165—168 cf. M IX 321—327

1 μεταλαμβάνον ED | ἔχει L || 5 οὐδὲν ἐνδέχεται edd.: οὐδὲν δέχεται C: οὐδὲν οὐ δέχεται cett. || 7 tit. EDAB | συναλειπτικάς G: per synaloephen Herv. || 12 ἡμιστιχίου edd.: ἡμῖν στοιχείου G || 13 τουτί om. B || 15 γίνεσθαι Gen. Fabr.: γενέσθαι G | πρόθεσις L || 17 ἡμιστιχίῳ EDLVr: στιχίῳ ς, ss. στοιχείῳ A || 20 προκειμένῳ A || 21 προστιθεμένω E(?)D || 22 ἡμιστοίχειον LVr || 23 τε om. LVr || 24 βραχὺ ter AB | τὸ μῆνιν LVr || 26sq. εἰ — αὐτοῦ addidi: ⟨ὁ αὐτὸς δὲ τρόπος, εἰ τῷ μέρει προστίθοιτο μόνον⟩ et p. 44, 2 ⟨οὐ⟩ mavult Harder: ἄειδε ⟨καὶ τὰ λοιπὰ⟩ Bury sec. Fabr.

637
αὐτοῦ,⟩ οἷον τῷ ἄειδε, καὶ εἰ μὲν μόνον αὐξήσει τὸ ἄειδε, 30
τὸ δ' ὅλον ⟨οὐκ αὐξήσει⟩, οὐ ποιήσει στίχον. λεί|πεται 638
οὖν φάσκειν τῷ ἐξ ἀμφοῖν, αὐτοῦ τε τοῦ μῆνιν καὶ τοῦ
προϋποκειμένου ἡμιστιχίου, ἀποτελουμένῳ ἑξαμέτρῳ καὶ
168 ἡρωικῷ στίχῳ προστίθεσθαι. ὃ τελέως ἦν ἀπίθανον· τὸ γὰρ
5 ἐπιδεχόμενον πρόσθεσιν προϋπόκειται τῆς προσθέσεως,
οὐ μὴν τὸ γινόμενον ἐκ τῆς προσθέσεως προϋπόκειται 5
ταύτης. οὐκ ἄρα οὖν τῷ γινομένῳ ἐκ τῆς προσθέσεως τοῦ
μῆνιν ἑξαμέτρῳ στίχῳ προστίθεται τὸ μῆνιν· ὅτε μὲν
10 γὰρ γίνεται ἡ πρόσθεσις, οὔπω ἑξάμετρός ἐστιν, ὅτε δὲ
ἔστιν ἑξάμετρος, οὐκέτι γίνεται ἡ πρόσθεσις. πλὴν συν-
ῆκται τὸ προκείμενον, καὶ μήτε προσθέσεως μήτε ἀφαιρέ- 10
σεως οὔσης ἀναιρεῖται ὁ προειρημένος τοῦ μερισμοῦ τρόπος.
15 Ἀλλὰ δὴ πάλιν τὴν ἐν τούτοις τῶν γραμματικῶν
ἀκρίβειαν κατανοήσαντες, φέρε καὶ τῆς ἐν τῷ γράφειν
αὐτῶν δυνάμεως ἀποπειραθῶμεν. 15

## Περὶ ὀρθογραφίας

169 Τὴν γὰρ ὀρθογραφίαν φασὶν ἐν τρισὶ κεῖσθαι τρόποις,
ποσότητι ποιότητι μερισμῷ. ποσότητι μὲν οὖν, ὅταν ζη-
20 τῶμεν εἰ ταῖς δοτικαῖς προσθετέον τὸ ι, καὶ εὐχάλινον
καὶ εὐώδινας τῷ ι μόνον γραπτέον ἢ τῇ ει· ποιότητι δέ,
ὅταν σκεπτώμεθα πότερον διὰ τοῦ ζ γραπτέον ἐστὶ τὸ 20
σμιλίον καὶ τὴν Σμύρναν ἢ διὰ τοῦ σ· μερισμῷ δέ, ἐπειδὰν
διαπορῶμεν περὶ τῆς ὄβριμος λέξεως, πότερόν ποτε τὸ
25 β τῆς δευτέρας ἐστὶ συλλαβῆς ἀρχὴ ἢ τῆς προηγουμένης
πέρας, καὶ ἐπὶ τοῦ Ἀριστίων ὀνόματος ποῦ τακτέον τὸ σ.
170 πάλιν δ' ἡ τοιαύτη τεχνολογία, ἵνα μηδὲν τῶν ἀπορωτέ- 25
ρων κινῶμεν, μάταιος εἶναι φαίνεται, πρῶτον μὲν ἐκ τῆς
διαφωνίας, ἔπειτα δὲ καὶ ἐξ αὐτῶν τῶν ἀποτελεσμάτων.
30 καὶ ἐκ μὲν τῆς διαφωνίας, ἐπείπερ οἱ τεχνικοὶ μάχονταί
τε καὶ εἰς αἰῶνα μαχήσονται πρὸς ἀλλήλους, τῶν μὲν

**§ 168 v. ad 165**

**2** δ' del. Bekk. | *οὐκ αὐξήσει* addidi || **3** *τοῦ* pr. om. C || **4** *ἀποτελουμένου* ς || **17** *αὐτῷ* LVr || **24** *ὄμβριμος* ς || **26** *ἀριστοτέλους* EDLVr: *ἀριστοτέλης* ς: corr. Fabr. sec. p. 45, 20 et 24 || **28** *κοινῶμεν* C

638
30 οὕτως τῶν δὲ ἐκείνως τὸ αὐτὸ γράφειν ἀξιούντων. ὅθεν 171
καὶ οὕτως αὐτοὺς ἐρωτητέον. εἰ χρειώδης ἐστὶν ἡ περὶ
639 ὀρθογραφίας τεχνο|λογία τῷ βίῳ, ἐχρῆν ἡμᾶς τε καὶ ἕκα-
στον τῶν διαφωνούντων περὶ αὐτῆς γραμματικῶν, ἀνε-
πικρίτου ἀκμὴν καθεστώσης τῆς κατὰ ταύτην διαφω- 5
νίας, παραποδίζεσθαι εἰς ἃ ἂν δέῃ γράφειν. οὔτε δὲ ἡμῶν 172
5 οὔτε τούτων ἕκαστος παραποδίζεται, ἀλλὰ συμφώνως
πάντες τυγχάνουσι τῆς προθέσεως, ἅτε δὴ μὴ ἀπ᾽ ἐκεί-
νης ἀλλ᾽ ἀπὸ κοινοτέρας τινὸς καὶ συμφώνου ὁρμώμενοι
τριβῆς, καθ᾽ ἣν τὰ μὲν κατ᾽ ἀνάγκην ὀφείλοντα παρα- 10
λαμβάνεσθαι στοιχεῖα πρὸς τὴν μήνυσιν τοῦ ὀνόματος
10 πάντες παραλαμβάνουσι, καὶ οἱ γραμματικοὶ καὶ οἱ μὴ
γραμματικοί, περὶ δὲ τῶν μὴ κατ᾽ ἀνάγκην ἀδιαφοροῦ-
σιν. οὐκ ἄρα χρειώδης ἐστὶν ἡ περὶ ὀρθογραφίας παρὰ
τοῖς γραμματικοῖς ὑφήγησις. ἀλλ᾽ ὁ μὲν ἀπὸ τῆς δια- 173
φωνίας ἔλεγχος τοιοῦτος, ὁ δὲ ἀπὸ τῶν ἀποτελεσμάτων 16
15 ἐμφανής. οὐδὲν γὰρ βλαπτόμεθα, ἐάν τε σὺν τῷ ι γράφω-
μεν τὴν δοτικὴν πτῶσιν ἐάν τε μή, καὶ ἐάν τε διὰ τοῦ σ
τὸ σμιλίον καὶ τὴν Σμύρναν ἐάν τε διὰ τοῦ ζ, καὶ ἐπὶ τοῦ
Ἀριστίων ὀνόματος ἐάν τε τῇ προηγουμένῃ συλλαβῇ τὸ 20
σ προσμερίζωμεν ἐάν τε τῇ ἐπιφερομένῃ τοῦτο συντάτ-
20 τωμεν. εἰ μὲν γὰρ παρὰ τὸ διὰ τοῦ σ ἀλλὰ μὴ διὰ τοῦ ζ 174
γράφειν τὸ σμιλίον οὐκέτι σμιλίον γίνεται ἀλλὰ δρέπανον,
καὶ εἰ παρὰ [τὸ σ] τὸ τοῦ Ἀριστίων ὀνόματος οὕτως
ἀλλὰ μὴ ἐκείνως συντάσσεσθαι τὸ σ [ἢ] ὁ Ἀριστίων, 25
καθώς φησί τις τῶν χαριεντιζομένων, Δειπνίων γίνεται,
25 ἥρμοζε μὴ ἀδιαφορεῖν. εἰ δ᾽ ὅπως ἂν ἔχῃ τὰ τῆς γραφῆς,
τὸ σμιλίον ⟨ἐστὶ σμιλίον⟩, ἐάν τε διὰ τοῦ σ ἐάν τε διὰ
τοῦ ζ κατάρχηται, ὅ τε Ἀριστίων ἀεί ποτέ ἐστιν Ἀριστίων,
ἐάν τε τῷ ι ἐάν τε τῷ τ τὸ σ προσμερίζωμεν, τίς χρεία 30
τῆς πολλῆς καὶ ματαίας παρὰ τοῖς γραμματικοῖς περὶ
τούτων μωρολογίας;

4 διαφορούντων Gen. Fabr. || 8 δὲ V || 21 συντάττομεν ED || 22 τὸ σ ς || 24 σ τὸ del. Fabr. | ἀριστοτέλους G: corr. Fabr. || 25 συντάττεσθαι L | ἢ del. Fabr. || 27 ὅπως L ς: οὕτως E: οὗτος D || 28 ἐστι σμ. add. Bury: ⟨σμιλίον⟩ τὸ σμ. dub. Bekk. || 32 μολογίας C

175 Κεφαλαιωδέστερον δὴ καὶ περὶ ὀρθογραφίας διεξιόν- 30
τες, ἴδωμεν εἰς συμπλήρωσιν τῆς πρὸς τὸ τεχνικὸν μέ-
ρος αὐ|τῶν ἀντιρρήσεως πότερον ἔχουσί τινα πρὸς τὸ ἑλ- 640
ληνίζειν συνεστῶσαν μέθοδον ἢ οὐδαμῶς.

## Εἰ ἔστι τις τέχνη περὶ ἑλληνισμοῦ

176 Ὅτι μὲν δεῖ τινα φειδὼ ποιεῖσθαι τῆς περὶ τὰς διαλέκ-
6 τους καθαριότητος, αὐτόθεν συμφανές· ὅ τε γὰρ ἑκάστοτε
βαρβαρίζων καὶ σολοικίζων ὡς ἀπαίδευτος χλευάζεται, 5
ὅ τε ἑλληνίζων ἱκανός ἐστι πρὸς τὸ σαφῶς ἅμα καὶ ἀκρι-
βῶς παραστῆσαι τὰ νοηθέντα τῶν πραγμάτων. ἤδη δὲ
10 τοῦ ἑλληνισμοῦ δύο εἰσὶ διαφοραί· ὃς μὲν γάρ ἐστι κεχω-
ρισμένος τῆς κοινῆς ἡμῶν συνηθείας καὶ κατὰ γραμμα-
τικὴν ἀναλογίαν δοκεῖ προκόπτειν, ὃς δὲ κατὰ τὴν ἑκά- 10
στου τῶν Ἑλλήνων συνήθειαν ἐκ παραπλασμοῦ καὶ τῆς
177 ἐν ταῖς ὁμιλίαις παρατηρήσεως ἀναγόμενος. οἷον ὁ μὲν
15 τῆς Ζεύς ὀρθῆς πτώσεως τὰς πλαγίους σχηματίζων τοῦ
Ζεός τῷ Ζεΐ τὸν Ζέα κατὰ τὸν πρότερον τοῦ ἑλληνισμοῦ
χαρακτῆρα διαλέλεκται, ὁ δὲ ἀφελῶς τοῦ Ζηνός λέγων 15
καὶ τῷ Ζηνὶ καὶ ⟨τὸν⟩ Ζῆνα κατὰ τὸν δεύτερον καὶ συνη-
θέστερον ἡμῖν. πλὴν δυοῖν ὄντων τῶν ἑλληνισμῶν εὔχρη-
20 στον μὲν εἶναί φαμεν τὸν δεύτερον διὰ τὰς προειρημένας
αἰτίας, ἄχρηστον δὲ τὸν πρῶτον διὰ τὰς λεχθησομένας.
178 ὥσπερ γὰρ ἐν πόλει νομίσματός τινος προχωροῦντος κατὰ 20
τὸ ἐγχώριον ὁ μὲν τούτῳ στοιχῶν δύναται καὶ τὰς ἐν
ἐκείνῃ τῇ πόλει διεξαγωγὰς ἀπαραποδίστως ποιεῖσθαι,
25 ὁ δὲ τοῦτο μὲν μὴ παραδεχόμενος ἄλλο δέ τι καινὸν χα-
ράσσων ἑαυτῷ καὶ τούτῳ νομιστεύεσθαι θέλων μάταιος
καθέστηκεν, οὕτω κἀν τῷ βίῳ ὁ μὴ βουλόμενος τῇ συνή- 25
θως παραδεχθείσῃ, καθάπερ νομίσματι, ὁμιλίᾳ κατακο-

§ 175—247 = Cratetis Pergam. (Mallotae) F 64e (H. J. Mette, Parateresis, Halle 1952) || 178 cf. Sudam s. v. *νομιστευομένων*

**2** *εἴδωμεν* L || **5** tit. *τις* om. V | *φειδώ τινα* ED || **7** *ὡς* LVrς: *καὶ* ED || **8** *ἱκανῶς* VC || **14** post *ταῖς* al. man. ss. *συνηθείαις καὶ* B || **18** *τὸν* add. Bekk. | *τὴν δευτ.* ED || **19** *δυεῖν* ELD || **23** *στιχῶν* ED || **26** *νομιτεύεσθαι* G: corr. Bekk. sec. Sudam

640
λουθεῖν ἀλλ' ἰδίαν αὐτῷ τέμνειν μανίας ἐγγύς ἐστιν. διό- 179
περ ⟨εἰ⟩ οἱ γραμματικοὶ ὑπισχνοῦνται τέχνην τινὰ τὴν
καλουμένην ἀναλογίαν παραδώσειν, δι' ἧς κατ' ἐκεῖνον
30 ἡμᾶς τὸν ἑλληνισμὸν ἀναγκάζουσι διαλέγεσθαι, ὑποδει-
κτέον ὅτι ἀσύστατός ἐστιν αὕτη ἡ τέχνη, δεῖ δὲ τοὺς ὀρθῶς 5
βουλομένους διαλέγεσθαι τῇ ἀτέχνῳ καὶ ἀφελεῖ κατὰ τὸν
641 βίον | καὶ τῇ κατὰ τὴν κοινὴν τῶν πολλῶν συνήθειαν πα-
ρατηρήσει προσανέχειν.

Εἴπερ οὖν ἔστι τις περὶ ἑλληνισμὸν τέχνη, ἤτοι ἔχει 180
ἀρχὰς ἐφ' αἷς συνέστηκεν ἢ οὐκ ἔχει. καὶ μὴ ἔχειν μὲν 10
5 οὐκ ἂν φαῖεν οἱ γραμματικοί· πᾶσα γὰρ τέχνη ἀπό τινος
ἀρχῆς ὀφείλει συνίστασθαι. εἰ δὲ ἔχει, ἤτοι τεχνικὰς ταύ-
τας ἔχει ἢ ἀτέχνους. καὶ εἰ μὲν τεχνικάς, πάντως ἢ ἀφ'
ἑαυτῶν ἢ ἀπ' ἄλλης τέχνης συνέστησαν, κἀκείνη πάλιν
ἀπὸ τρίτης, καὶ ἡ τρίτη ἀπὸ τετάρτης, καὶ τοῦτ' εἰς ἄπει- 15
10 ρον, ὥστε ἄναρχον γιγνομένην τὴν περὶ ἑλληνισμὸν τέχ-
νην μηδὲ τέχνην ὑπάρχειν· εἰ δὲ ἀτέχνους, οὐκ ἄλλαι 181
τινὲς εὑρεθήσονται παρὰ τὴν συνήθειαν· ἡ ἄρα συνήθεια
τοῦ τί τέ ἐστιν ἑλληνικὸν καὶ τί ἀνελλήνιστον γίνεται
κριτήριον, καὶ οὐκ ἄλλη τις περὶ τὸν ἑλληνισμὸν τέχνη. 20
15 ἄλλως τε, ἐπεὶ τῶν τεχνῶν αἱ μὲν τῷ ὄντι εἰσὶ τέχναι, ὡς 182
ἡ ἀνδριαντοποιικὴ καὶ ζωγραφία, αἱ δὲ ἐπαγγέλματι μέν
εἰσι τέχναι, οὐ πάντως δὲ καὶ κατ' ἀλήθειαν, ὡς Χαλ-
δαϊκή τε καὶ θυτική, ἵνα μάθωμεν πότερόν ποτε καὶ ἡ
περὶ τὸν ἑλληνισμὸν λεγομένη τέχνη ἢ ὑπόσχεσις μόνον 25
20 ἐστὶν ἢ καὶ ὑποκειμένη δύναμις, δεήσει κριτήριόν τι ἡμᾶς
ἔχειν εἰς τὴν ταύτης δοκιμασίαν. τοῦτ' οὖν τὸ κριτήριον 183
πάλιν ἤτοι τεχνικόν τί ἐστι (καὶ περὶ ἑλληνισμόν, εἴγε
καὶ τῆς περὶ τὸν ἑλληνισμὸν κρινούσης, εἰ ὑγιῶς κρίνει,
δοκιμαστικὸν καθέστηκεν), ἢ ἄτεχνον. ἀλλὰ τεχνικὸν 30

**1** αὐτῷ AB | διόπερ οἱ γραμμ. G: διόπερ εἰ γραμμ. Gen.: corr. Fabr. || **3** δι' ἧς δι' ἐκεῖνον A || **5** ἀσύστατόν B | τὴν ὀρθῶς B || **7** βίον ⟨ὁμιλίᾳ⟩ dub. Bekk. || **12** ἢ AB: ἤτοι cett. || **13** πάντων B: πάντας D || **16** ἑλληνισμοῦ LVr || **17** μήτε D || **22** ἀνδριαντοποιητικὴ Fabr. || **25** ἡ ὑπόσχεσις LVrEDBCR: idem iterat V: ἢ ὑπόσχ. Fabr. || **26** ἢ om. A || **28** καὶ post ἐστι om. Herv. || **29** εἰ om. VC

641

μὲν περὶ ἑλληνισμὸν οὐκ ἂν εἴη διὰ τὴν προειρημένην 25
εἰς ἄπειρον ἔκπτωσιν· ἄτεχνον δ' εἰ λαμβάνοιτο τὸ κρι-
τήριον, οὐκ ἄλλο τι εὑρήσομεν ἢ τὴν συνήθειαν. ἡ ἄρα
συνήθεια καὶ αὐτὴν τὴν περὶ ἑλληνισμὸν τέχνην κρίνουσα
5 οὐ δεήσεται τέχνης.

184 Εἴπερ δὲ οὐκ ἄλλως ἔστιν ἑλληνίζειν ἐὰν μὴ παρὰ 30
γραμματικῆς μάθωμεν τὸ ἑλληνικόν, ἤτοι ἐναργές ἐστι |
τοῦτο καὶ ἐξ αὐτοῦ βλεπόμενον ἢ ἀδηλότερον. ἀλλ' ἐναρ- 642
γὲς μὲν οὐκ ἔστιν, ἐπεὶ σύμφωνον ἂν ἦν παρὰ πᾶσιν ὡς
185 τὰ λοιπὰ τῶν ἐ⟨να⟩ργῶν. καὶ ἄλλως πρὸς μὲν τὴν τοῦ
11 ἐναργοῦς ἀντίληψιν οὐδεμιᾶς τέχνης ἐστὶ χρεία, καθάπερ
οὐδὲ πρὸς τὸ λευκὸν ὁρᾶν ἢ γλυκέος γεύεσθαι ἢ θερμοῦ 5
θιγγάνειν· πρὸς δὲ τὸ ἑλληνίζειν μεθόδου τινὸς καὶ τέχ-
νης κατὰ τοὺς γραμματικούς ἐστι χρεία. οὐκ ἄρα ἐναργές
186 ἐστι τὸ ἑλληνίζειν. ἄδηλον δὲ εἴπερ ἐστί, πάλιν ἐπεὶ τὸ
16 ἄδηλον ἔκ τινος ἑτέρου γνωρίζεται, ἤτοι φυσικῷ τινι κατ-
ακολουθητέον κριτηρίῳ, ἐξ οὗ διαγιγνώσκεται τί τὸ ἑλ- 10
ληνικὸν καὶ τί τὸ ἀνελλήνιστον, ἢ τῇ ἑνὸς συνηθείᾳ ὡς
ἄκρως ἑλληνίζοντος χρηστέον πρὸς τὴν τούτου κατάληψιν,
187 ἢ τῇ πάντων. ἀλλὰ φυσικὸν μὲν κριτήριον εἰς τὸ ἑλληνι-
21 κὸν καὶ τὸ μὴ τοιοῦτον οὐδὲν ἔχομεν· τοῦ γὰρ Ἀττικοῦ 15
τὸ τάριχος λέγοντος ὡς ἑλληνικὸν καὶ τοῦ Πελοποννησίου
ὁ τάριχος προφερομένου ὡς ἀδιάστροφον, καὶ τοῦ μὲν
τὴν στάμνον ὀνομάζοντος τοῦ δὲ τὸν στάμνον, οὐδὲν ἔχει
25 ἐξ ἑαυτοῦ κριτήριον πιστὸν ὁ γραμματικὸς εἰς τὸ οὕτως
ἀλλὰ μὴ οὕτως δεῖν λέγειν, εἰ μὴ ἄρα τὴν ἑκάστου συν- 20
188 ήθειαν, ἥτις οὔτε τεχνικὴ οὔτε φυσική ἐστιν. τῇ δὲ τινὸς
συνηθείᾳ δεῖν ἀκολουθεῖν εἴπερ ἐροῦσιν, ἤτοι φάσει μόνον
ἐροῦσιν ἢ ἐμμεθόδοις ἀποδείξεσι χρησάμενοι. ἀλλὰ φάσιν

§ **185** cf. M X 301, M XI 227, M I 23, M VIII 203 || **188** cf. M VII 315–316

**1** an *περὶ ἑλληνισμὸν* delendum? | *ἑλληνισμοῦ* LVrGen. || **3** *οὐκ ἂν* V Fabr. | *ἀλλ' ὅτι* C || **4** *καὶ* Bekk.: *κατ'* G || **8** *αὐτοῦ* G || **10** *ἔργων* G: corr. Fabr. || **25** *ἀυτοῦ* (sic) L: *αὐτοῦ* Vr || **27** *ἥτις* LE || **28** *ἤτοι* — 29 *ἐροῦσιν* om. ED: in marg. A || **29** *ἢ* edd.: *οἱ* G | *ἐμμεθόδοις* Lς: *ἐν μεθόδοις* ED | *ἀλλὰ* om. A

642
μὲν λέγουσι φάσιν ἀντιθήσομεν περὶ τοῦ τοῖς πολλοῖς
25 μᾶλλον ἢ τῷ ἑνὶ δεῖν ἀκολουθεῖν· ἐμμεθόδως δὲ ἀπο-
δεικνύντες ὅτι οὗτος ἑλληνίζει, ἀναγκασθήσονται ἐκείνην
τὴν μέθοδον κριτήριον ἑλληνισμοῦ λέγειν δι' ἣν καὶ οὗτος
ἑλληνίζων δέδεικται, ἀλλ' οὐχὶ τοῦτον. λείπεται οὖν τῇ 189
πάντων συνηθείᾳ προσέχειν. εἰ δὲ τοῦτο, οὐ χρεία τῆς 6
30 ἀναλογίας ἀλλὰ παρατηρήσεως τοῦ πῶς οἱ πολλοὶ διαλέ-
γονται καὶ τί ὡς ἑλληνικὸν παραδέχονται ἢ ὡς οὐ τοιοῦτον
ἐκκλίνουσιν. τό γε μὴν ἑλληνικὸν ἤτοι φύσει ἐστὶν ἢ θέ-
643 σει. καὶ φύσει μὲν οὐκ ἔστιν, ἐπεὶ οὐκ ἄν | ποτε ταὐτὸν 10
τοῖς μὲν ἑλληνικὸν ἐδόκει τυγχάνειν τοῖς δὲ οὐχ ἑλληνι-
κόν· θέσει δὲ εἴπερ ἐστὶ καὶ νόμῳ τῶν ἀνθρώπων, ὁ 190
συνασκηθεὶς μάλιστα καὶ τριβεὶς ἐν τῇ συνηθείᾳ, οὗτος
5 ἑλληνίζει, καὶ οὐχ ὁ τὴν ἀναλογίαν ἐπιστάμενος. καὶ γὰρ
ἄλλως ἔνεστι παραστῆσαι ὅτι οὐ δεόμεθα πρὸς τὸ ἑλλη- 15
νίζειν τῆς γραμματικῆς. ἐν γὰρ ταῖς ἀνὰ χεῖρα ὁμιλίαις 191
ἤτοι ἀντικόψουσιν ἡμῖν οἱ πολλοὶ ἐπί τισι λέξεσιν ἢ οὐκ
ἀντικόψουσιν. καὶ εἰ μὲν ἀντικόψουσιν, εὐθὺς καὶ διορθώ-
10 σονται ἡμᾶς, ὥστε παρὰ τῶν ἐκ τοῦ βίου καθεστώτων
ἀλλ' οὐχὶ παρὰ γραμματικῶν ἔχειν τὸ ἑλληνίζειν· εἰ δ' 192
οὐ δυσχεραίνουσιν ἀλλ' ὡς σαφέσι καὶ ὀρθῶς ἔχουσι 21
συμπεριφέροιντο τοῖς λεγομένοις, καὶ ἡμεῖς αὐτοῖς ἐπιμε-
νοῦμεν. κατά τε ταύτην τὴν ἀναλογίαν ἤτοι πάντες ἢ οἱ
πλεῖστοι ἢ οἱ πολλοὶ διαλέγονται· οὔτε δὲ πάντες οὔθ'
15 οἱ πλεῖστοι οὔθ' οἱ πολλοί· μόλις γὰρ δύο ἢ τρεῖς τοιοῦ- 25
τοι εὑρίσκονται, οἱ δὲ πλεῖστοι οὐδὲ ἴσασιν αὐτήν. τοίνυν 193
ἐπεὶ τῇ τῶν πολλῶν συνηθείᾳ καὶ οὐ τῇ τῶν δυοῖν ἀναγ-
καῖον κατακολουθεῖν, ῥητέον τὴν παρατήρησιν τῆς κοινῆς
συνηθείας χρησιμεύειν πρὸς τὸ ἑλληνίζειν, ἀλλὰ μὴ τὴν
20 ἀναλογίαν. ἐπὶ πάντων γε μὴν σχεδὸν τῶν χρησιμευόν- 30
των τῷ βίῳ μέτρον ἐστὶν ἱκανὸν τὸ μὴ παραποδίζεσθαι
πρὸς τὰς χρείας. διόπερ εἰ καὶ ὁ ἑλληνισμὸς διὰ δύο μά- 194

**2** *ἰδεῖν* C || **4** *δι' ἧς* Mette | *οὕτω* Gen. || **5** *τοῦτο* G: corr. Bekk. || **6** *εἰς δὲ τοῦτο* Shorey || **7** *διαλέγονται* — **8** *τοιοῦτον* om. V, alt. man. in marg. add. cum voce *κείμενον* || **8** *τί ὡς* Bekk.: *πῶς* G: aliquid ut Herv. || **13** *συντριβεὶς* A || **27** *δυεῖν* LED

643

*λιστα προηγούμενα ἔτυχεν ἀποδοχῆς, τήν τε σαφήνειαν*
*καὶ τὴν προσήνειαν τῶν δηλουμένων (τούτοις γὰρ ἔξωθεν*
*κατ' ἐπακολούθησιν συνέζευκται τὸ μεταφορικῶς καὶ ἐμ-* 25
*φατικῶς καὶ κατὰ τοὺς ἄλλους τρόπους φράζειν), ζητήσο-*
5 *μεν οὖν ἐκ ποτέρας ταῦτα μᾶλλον περιγίνεται, ἆρά γε*
*τῆς κοινῆς συνηθείας ἢ τῆς ἀναλογίας, ἵνα ἐκείνῃ προσθώ-*
195 *μεθα. βλέπομεν δέ γε ὡς ἐκ τῆς κοινῆς συνηθείας μᾶλ-*
*λον ἢ ὅτι ἐκ τῆς ἀναλογίας. ἐκείνῃ ἄρα ἀλλ' οὐ ταύτῃ* 30
*χρηστέον. τὸ μὲν γὰρ τῆς ὀρθῆς πτώσεως ὁ Ζεύς οὔσης*
10 *τὰς πλαγίους προφέρεσθαι Ζηνός Ζηνί Ζῆνα καὶ τῆς* | *κύων* 644
*κυνός κυνί κύνα ⟨οὐ μόνον⟩ σαφές, ἀλλὰ καὶ ἀπρόσκοπον*
*τοῖς πολλοῖς εἶναι φαίνεται· τοῦτο δέ ἐστι τὸ τῆς κοινῆς*
*συνηθείας. τὸ δὲ ἀπὸ τῆς Ζεύς ὀρθῆς Ζεός λέγειν καὶ Ζεΐ*
*καὶ Ζέα, καὶ ἀπὸ τῆς κύων σχηματίζειν κύωνος κύωνι*
15 *κύωνα, ἢ ἀπὸ τῆς κυνός γενικῆς ἀξιοῦν τὴν ὀρθὴν κῦς* 5
*ὑπάρχειν, καὶ ἐπὶ τῶν ῥηματικῶν φερήσω λέγειν καὶ βλε-*
*πήσω ὡς κυήσω καὶ θελήσω, οὐ μόνον ἀσαφὲς ἀλλὰ καὶ*
196 *γέλωτος ἔτι δὲ προσκοπῆς ἄξιον εἶναι δοκεῖ· τοῦτο δὲ*
*γίνεται ἀπὸ ἀναλογίας. τοίνυν, ὡς ἔφην, οὐ ταύτῃ χρη-*
20 *στέον ἀλλὰ τῇ συνηθείᾳ.* 10

*Μήποτε δὲ καὶ περιτρέπονται, καὶ ἐάν ⟨τε⟩ θελήσωσιν*
*ἐάν τε καὶ μή, ἀναγκασθήσονται χρῆσθαι μὲν τῇ συνη-*
*θείᾳ παραπέμπειν δὲ τὴν ἀναλογίαν. σκοπῶμεν δ' ἐντεῦ-*
*θεν τὸ λεγόμενον, τουτέστιν ἐκ τῆς πρὸς αὐτοὺς ἀκολου-*
197 *θίας. ζητουμένου γὰρ τοῦ πῶς δεῖ λέγειν, χρῆσθαι ἢ* 15
25 *χρᾶσθαι, φασὶν ὅτι χρᾶσθαι, καὶ ἀπαιτούμενοι τούτου τὴν*
*πίστιν λέγουσιν, ὅτι χρῆσις καὶ κτῆσις ἀνάλογά ἐστιν·*
*ὡς οὖν κτᾶσθαι μὲν λέγεται, κτῆσθαι δὲ οὐ λέγεται, οὕτω*
198 *καὶ χρᾶσθαι μὲν ῥηθήσεται, χρῆσθαι δὲ οὐ πάντως. ἀλλ'*
30 *εἰ ἐπακολουθῶν τις αὐτοῖς πύθοιτο 'αὐτὸ δὲ τοῦτο τὸ* 20
*κτᾶσθαι ὅτι ὀρθῶς εἴρηται, ἀφ' οὗ καὶ τὸ χρᾶσθαι ἀπο-*
*δείκνυμεν, πόθεν ἴσμεν;' φήσουσιν ὅτι ἐν τῇ συνηθείᾳ λέ-*

**3** *καὶ ἐκφατικῶς* ς: *καὶ ἐκφαντικῶς* A: om. Vr || **4** *ζητήσωμεν* Gen. Fabr. || **5** *οὖν* om. LVr || **6** *τὰς ἀναλ.* D | *ἐκείνω* ς || **9** *ὁ* om. ς || **10** *προφέρειν* ς: || **11** *οὐ μόνον* addidi || **14** *καὶ* post *κύωνι* LED || **17** *κυήσω* Theiler: *ποιήσω* G || **18** *προκοπῆς* A || **21** *τε* add. Bekk. || **26** *ἀπαιτούμενος* A || **31** *ἀποδείκν.* — **32** *ἴσμεν* om. C

644 γεται. τοῦτο δὲ λέγοντες δώσουσι τὸ τῇ συνηθείᾳ δεῖν ὡς κριτηρίῳ προσέχειν, ἀλλὰ μὴ τῇ ἀναλογίᾳ. εἰ γὰρ ὅτι 199
25 ἐν τῇ συνηθείᾳ λέγεται κτᾶσθαι, ῥητέον καὶ χρᾶσθαι, ὀφείλομεν παρέντες τὴν ἀναλογικὴν τέχνην ἐπὶ τὴν συνήθειαν ἀναδραμεῖν, ἀφ' ἧς κἀκείνη ἤρτηται. 5

Καὶ μὴν ἡ ἀναλογία ὁμοίων πολλῶν ὀνομάτων ἐστὶ παράθεσις, τὰ δὲ ὀνόματα ταῦτα ἐκ τῆς συνηθείας, ὥστε
30 καὶ ἡ σύστασις τῆς ἀναλογίας ἀπὸ τῆς συνηθείας πρόεισιν. τούτου δὲ οὕτως ἔχοντος ἐρωτητέον τρόπῳ τῷδε· 200 ἤτοι ἐγκρίνετε τὴν συνήθειαν ὡς πιστὴν πρὸς διάγνωσιν | 10
645 ἑλληνισμοῦ ἢ ἐκβάλλετε. εἰ μὲν ἐγκρίνετε, αὐτόθεν συνῆκται τὸ προκείμενον, καὶ οὐ χρεία τῆς ἀναλογίας· εἰ δὲ ἐκβάλλετε, ἐπεὶ καὶ ἡ ἀναλογία ἐκ ταύτης συνίσταται, ἐκβάλλετε καὶ τὴν ἀναλογίαν. καὶ πάλιν, ἄτοπον τὸ αὐτὸ
5 καὶ ὡς πιστὸν προσίεσθαι καὶ ὡς ἄπιστον παραιτεῖσθαι. 15 οἱ δὲ γραμματικοὶ θέλοντες τὴν συνήθειαν ὡς ἄπιστον 201 ἐκβάλλειν καὶ πάλιν ταύτην ὡς πιστὴν παραλαμβάνειν, τὸ αὐτὸ πιστὸν ἅμα καὶ ἄπιστον ποιήσουσιν. ἵνα γὰρ δείξωσιν ὅτι οὐ διαλεκτέον κατὰ τὴν συνήθειαν, εἰσάγουσι
10 τὴν ἀναλογίαν· ἡ δὲ ἀναλογία οὐκ ἰσχυροποιεῖται, εἰ μὴ 20 συνήθειαν ἔχοι τὴν βεβαιοῦσαν· τῇ ἄρα συνηθείᾳ ἐκβάλ- 202 λοντες τὴν συνήθειαν τὸ αὐτὸ πιστὸν ἅμα καὶ ἄπιστον ποιήσουσιν. ἐκτὸς εἰ μή τι φήσουσι μὴ τὴν αὐτὴν συνήθειαν ἐκβάλλειν ἅμα καὶ προσίεσθαι, ἀλλ' ἄλλην μὲν ἐκ-
15 βάλλειν ἄλλην δὲ προσίεσθαι. ὅπερ καὶ λέγουσιν οἱ ἀπὸ 25 Πινδαρίωνος. ἀναλογία, φασίν, ὁμολογουμένως ἐκ τῆς συνηθείας ὁρμᾶται· ἔστι γὰρ ὁμοίου τε καὶ ἀνομοίου θεωρία, τὸ δὲ ὅμοιον καὶ ἀνόμοιον ἐκ τῆς δεδοκιμασμένης 203 λαμβάνεται συνηθείας, δεδοκιμασμένη δὲ καὶ ἀρχαιοτάτη

§ **202** *Πινδαρίων* v. Suda s. v. *Πτολεμαῖος*. cf. schol. in Dionys. Thr. 790, 26 anecd. Gr. Bekker, ubi appellatur *Πίνδαρος*, sed v. p. 192, 13 Hilgard

**5** *εἴρηται* ς || **10** *ἐγκρίνεται* ς Vr, in A correctum || **15** *προσίεσθε* ς | *ἄπιστον* LED: *ἄτοπον* ς | *παραιτεῖσθε* ς || **17** *λαμβάνειν* A || **21** *ἔχει* VCD || **25** *προσθέσθαι*, rasura correctum in *προίεσθαι* E | *οἱ ἀπὸ* Fabr.: *ἡ τοῦ* G || **26** *ἀναλόγως* LVr | *φησὶν* G: inquiunt Herv. | hic et 25 trad. defendit Harder

645
ἐστὶν ἡ Ὁμήρου ποίησις· ποίημα γὰρ οὐδὲν πρεσβύτερον 20
ἧκεν εἰς ἡμᾶς τῆς ἐκείνου ποιήσεως· διαλεξόμεθα ἄρα
204 τῇ Ὁμήρου κατακολουθοῦντες συνηθείᾳ. ἀλλὰ πρῶτον
μὲν οὐχ ὑπὸ πάντων ὁμολογεῖται ποιητὴς ἀρχαιότατος
5 εἶναι Ὅμηρος· ἔνιοι γὰρ Ἡσίοδον προήκειν τοῖς χρόνοις 25
λέγουσιν, Λίνον τε καὶ Ὀρφέα καὶ Μουσαῖον καὶ ἄλλους
παμπληθεῖς. οὐ μὴν ἀλλὰ καὶ πιθανόν ἐστι γεγονέναι
μέν τινας πρὸ αὐτοῦ καὶ κατ' αὐτὸν ποιητάς, ἐπεὶ καὶ
αὐτός πού φησι (α 351)

10 τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται, | 30

τούτους δὲ ὑπὸ τῆς περὶ αὐτὸν λαμπρότητος ἐπεσκοτῆ- 646
205 σθαι. καὶ εἰ ἀρχαιότατος δὲ ὁμολογοῖτο τυγχάνειν Ὅμηρος,
οὐδὲν εἴρηται ὑπὸ τοῦ Πινδαρίωνος ἱκνούμενον. ὥσπερ
15 γὰρ προηπορoῦμεν περὶ τοῦ πότερόν τε τῇ συνηθείᾳ ἢ τῇ
ἀναλογίᾳ χρηστέον, οὕτω καὶ νῦν διαπορήσομεν πότερον 5
τῇ συνηθείᾳ ἢ τῇ ἀναλογίᾳ, καὶ εἰ τῇ συνηθείᾳ, ἄρα τῇ
καθ' Ὅμηρον ἢ τῇ τῶν ἄλλων ἀνθρώπων· πρὸς ὅπερ
206 οὐδὲν εἴρηται. εἶτα κἀκείνην μάλιστα δεῖ τὴν συνήθειαν
20 μεταδιώκειν ᾗ προσχρώμενοι οὐ γελασθησόμεθα· τῇ δὲ
Ὁμηρικῇ κατακολουθοῦντες οὐ χωρὶς γέλωτος ἑλληνιοῦ- 10
μεν, μάρτυροι λέγοντες καὶ 'σπάρτα λέλυνται' καὶ ἄλλα
τούτων ἀτοπώτερα. τοίνυν οὐδ' οὗτός ἐστιν ὁ λόγος ὑγιής,
μετὰ καὶ τοῦ συγκεχωρῆσθαι τὸ κατασκευαζόμενον ὑφ'
207 ἡμῶν, τουτέστι τὸ μὴ χρῆσθαι ἀναλογίᾳ. τί γὰρ διήνεγκεν
25 εἴτ' ἐπὶ τὴν τῶν πολλῶν εἴτ' ἐπὶ τὴν Ὁμήρου συνήθειαν ἐλ- 15
θεῖν; ὡς γὰρ ἐπὶ τῆς τῶν πολλῶν τηρήσεώς ἐστι χρεία
ἀλλ' οὐ τεχνικῆς ἀναλογίας, οὕτω καὶ ἐπὶ τῆς Ὁμήρου·
τηρήσαντες γὰρ αὐτοὶ πῶς εἴωθε λέγειν, οὕτω καὶ δια-
208 λεξόμεθα. τὸ δὲ ὅλον, ὡς αὐτὸς Ὅμηρος οὐκ ἀναλογίᾳ

§ **204** *ἔνιοι* v. Schmid-Stählin I[7] 86

**3** *τῆς* D ‖ **5** *προήκεινται* LVr: *προσήκειν* A ‖ **6** *λῖνόν* LVrς: *κινόν* CD: *λίνόν* (sic) E ‖ **7** *παμπλήθεις* LVrED ‖ **12** *αὐτὴν* ED ‖ **15** *τε* LED: *ποτε* ς ‖ **16** *διαφορήσομεν* Bekk. (lapsu calami?) ‖ **17** *ἀλογίᾳ* L ‖ **22** *μάρτυρες* VC ‖ **24** *καὶ* om. ς edd. ‖ **26** *τὴν* ante *τῶν* om. VC ‖ **30** *οὐκ ἂν* G

20 προσεχρήσατο ἀλλὰ τῇ τῶν κατ' αὐτὸν ἀνθρώπων συν-
ηθείᾳ κατηκολούθησεν, οὕτω καὶ ἡμεῖς οὐκ ἀναλογίας
πάντως ἑξόμεθα βεβαιωτὴν ἐχούση⟨ς⟩ Ὅμηρον, ἀλλὰ τὴν
συνήθειαν τῶν καθ' αὑτοὺς ἀνθρώπων παραπλασόμεθα.

Ἄρτι μὲν οὖν ἐκ τῆς πρὸς τοὺς γραμματικοὺς ἀκο- 209
25 λουθίας συνῆκται τὸ παρέλκειν μὲν τὴν ἀναλογίαν πρὸς 6
ἑλληνισμόν, εὐχρηστεῖν δὲ τὴν τῆς συνηθείας παρατήρη-
σιν· δῆλον δὲ ἴσως ἔσται ἐκ τῶν ῥητῶν. ὁριζόμενοι γὰρ 210
τόν τε βαρβαρισμὸν καὶ τὸν σολοικισμόν φασὶ 'βαρβα-
ρισμός ἐστι παράπτωσις ἐν ἁπλῇ λέξει παρὰ τὴν κοινὴν 10
30 συνήθειαν' καὶ 'σολοικισμός ἐστι παράπτωσις ἀσυνήθης |
647 κατὰ τὴν ὅλην σύνταξιν καὶ ἀνακόλουθος'. πρὸς ἃ δυνά- 211
μεθα λέγειν εὐθύς· ἀλλ' εἰ ὁ μὲν βαρβαρισμός ἐστιν ἐν
ἁπλῇ λέξει ὁ δὲ σολοικισμὸς ἐν συνθέσει λέξεων, δέδεικ-
5 ται δὲ ἔμπροσθεν ὡς οὔτε ἁπλῆ ἔστι λέξις τις οὔτε σύν- 15
θεσις λέξεων, οὐδέν ἐστι βαρβαρισμὸς ἢ σολοικισμός.
πάλιν εἰ ἐν λέξει μιᾷ ὁ βαρβαρισμὸς νοεῖται καὶ ἐν συν- 212
θέσει λέξεων ὁ σολοικισμός, ἀλλ' οὐκ ἐν τοῖς ὑποκειμένοις
πράγμασι, πῶς ἥμαρτον εἰπὼν 'οὗτος', δείκνυμι δὲ γυ-
ναῖκα, ἢ 'αὕτη', δείκνυμι δὲ νεανίαν; οὔτε γὰρ ἐσολοί- 20
10 κισα· οὐ γὰρ σύνθεσιν πολλῶν ἀκαταλλήλων λέξεων προ-
ηνεγκάμην, ἀλλ' ἁπλῆν τὴν οὗτος λέξιν ἢ αὕτη· οὔτ' 213
ἐβαρβάρισα· οὐδὲν γὰρ ἀσύνηθες εἶχεν ἡ οὗτος λέξις, ὡς
ἡ παρὰ τοῖς Ἀλεξανδρεῦσιν 'ἐλήλυθαν' καὶ 'ἀπελήλυθαν'.

15 Πλὴν τοιαῦτα μὲν πολλὰ πρὸς τοὺς γραμματικοὺς ἐν- 25
δέχεται λέγειν· ἵνα δὲ μὴ δοκῶμεν ἐν πᾶσιν ἀπορητικοὶ 214
τυγχάνειν, ἐπὶ τὴν ἐξ ἀρχῆς πρόθεσιν ἀναδραμόντες φή-
σομεν ὡς εἴπερ ὁ βαρβαρισμὸς παράπτωσίς ἐστι παρὰ
τὴν κοινὴν συνήθειαν ἐν μιᾷ λέξει θεωρούμενος, ὡσαύ-
τως δὲ καὶ ὁ σολοικισμὸς ἐν πολλαῖς λέξεσι τὴν ὑπόστα- 30
20 σιν λαμβάνων, καὶ ἔστι βάρβαρον μὲν τὸ † τράπεζα διὰ

1 *ἀλλὰ τῶν κατὰ αὐτῶν* ED: *ἀλλὰ τῇ κατὰ αὐτῶν* (*ὂν* suprascr.) L || 2 *ἀνα-λογίαν* G || 3 *ἕξομεν* G | ⟨ς⟩ Bekk.: *ἔχουσαν* Gen. Fabr.: om. Herv. || 4 *κατ' αὐτοὺς* G: corr. Bekk. | *παραπλασσόμεθα* G: corr. Fabr. || 8 ⟨*καὶ*⟩ *ἐκ* dub. Bekk. || 13 *ὁ* om. LVr || 17 *ἡ* pro *εἰ* AB || 31 *τράπεσα* Fabr. Bekk. Bury

τὸ μὴ σύνηθες εἶναι τὸ ῥῆμα, σόλοικον δὲ τὸ 'πολλὰ περι-
πατήσας κοπιᾷ μου τὰ σκέλη' διὰ τὸ μὴ λέγεσθαι τῇ
κοινῇ συνηθείᾳ, ὡμολόγηται ὅτι ἡ μὲν ἀναλογικὴ τέχνη
ὄνομα κενόν ἐστι πρὸς τὸ μὴ βαρβαρίζειν ἢ σολοικίζειν,
5 δεῖ δὲ τὴν συνήθειαν παρατηρεῖν καὶ ἀκολούθως αὐτῇ 25
215 διαλέγεσθαι. εἰ μὲν γὰρ μετακαθίσαντες λέγοιεν βαρβα-
ρισμὸν ἁπλῶς παράπτωσιν ἐν ἁπλῇ λέξει, δίχα τοῦ προσ-
θεῖναι τὸ παρὰ τὴν κοινὴν συνήθειαν, καὶ σολοικισμὸν
παράπτωσιν κατὰ τὴν ὅλην σύνταξιν καὶ ἀνακόλουθον,
10 χωρὶς τοῦ παραλαβεῖν τὸ ἀσύνηθες, καὶ χεῖρόν τι κινή- 30
σουσιν ἑαυτοῖς πρᾶγμα. τὰ γὰρ τοιαῦτα καθ' ὅλην τὴν
σύνταξιν ⟨ἀν⟩ακολουθοῦντα ἕξουσιν, 'Ἀθῆναι καλὴ πόλις,
Ὀρέ|στης καλὴ τραγῳδία, ἡ βουλὴ οἱ ἑξακόσιοι'· ἃ 648
δεήσει σολοικισμοὺς λέγειν, οὐχὶ δέ γε σολοικισμοὶ τυγ-
216 χάνουσι διὰ τὸ σύνηθες. οὐκ ἄρα ψιλῇ τῇ ἀκολουθίᾳ κρι-
16 τέον τὸν σολοικισμόν, ἀλλὰ τῇ συνηθείᾳ.

*Εὖ* δ' ἂν ἔχοι καὶ μετὰ τὴν ἐκ τῆς ⟨πρὸς αὐτοὺς⟩ ἀκο- 5
λουθίας καὶ τῶν ῥητῶν ἔνστασιν ἔτι καὶ ἀπὸ τῆς κατὰ τὸ
217 ὅμοιον μεταβάσεως αὐτοὺς δυσωπεῖν. εἴπερ γὰρ τοῦ
20 ὁμοίου θεωρητικοὶ καθεστήκασιν, ἐπεὶ τῷ εἰς ἀντικνήμιον
τύπτεσθαι ἀνάλογόν ἐστι τὸ εἰς τὴν ῥῖνα τύπτεσθαι καὶ
τὸ εἰς τὴν γαστέρα, λέγεται δὲ τὸ πρῶτον ἀντικνημιά- 10
ζειν, ἀναλόγως καὶ τὸ γαστρίζειν ἢ μυκτηρίζειν ⟨···⟩· τὸ δὲ
αὐτὸ καὶ ἐπὶ τοῦ ἱππάζεσθαι καὶ κατακρημνίζεσθαι καὶ
25 ἡλιάζεσθαι ὑποδεικτέον. οὐ λέγομεν δὲ ταῦτα διὰ τὸ παρὰ
τὴν κοινὴν εἶναι συνήθειαν· τοίνυν οὐδὲ τὸ λυήσω οὐδὲ τὸ

§ 217 *γαστρίζειν* cf. Phrynich. p. 178 Rutherford et Lobeck ad Phr. p. 95

2 *κοπιασμοῦ* Gen.: laboris Herv. || 3 *ἀναλογικὴ* LVrED: *ἀναλογητικὴ* ς || 6 *διαλέγεσθαι — βαρβαρισμὸν* om. L, in marg. suppl. || 9 *καὶ* om. Herv. || 10 *καὶ* scripsi, dub. Bekk.: *ἢ* G: *η* Fabr.: *ἔτι* Bury || 12 *⟨ἀν⟩ακολουθοῦντα* Gen. Fabr. Bury || 14 *λέγει* L || 15 *συνηθεία* (supra: *ακολου*) E: *συνακολουθεία* D || 17 ⟨ ⟩ Heintz || 22.23 an *ἀντικνημιάζεσθαι ... γαστρίζεσθαι ... μυκτηρίζεσθαι* dub. Bekk. || 23 post *μυκτηρίζειν* supplendum vel subaudiendum puto aliquid simile atque *ἐπὶ τοῦ εἰς γαστέρα ἢ ῥῖνα τύπτειν δεήσει λέγειν.* || 26 *κυήτω* B: *κνήσω* C: corr. Theiler

15 φερήσω καὶ τὰ ἄλλα πάντα, ἅπερ ⟨κατ'⟩ ἀναλογίαν, ἐστὶν
ὀφειλόμενα λέγεσθαι διὰ τὸ μὴ κατὰ τὴν συνήθειαν λέγε-
σθαι. οὐ μὴν ἀλλ' εἴπερ ἄριστα μὲν θρᾳκιστὶ διαλέγεσθαί 218
φαμεν τὸν ὡς σύνηθές ἐστι Θρᾳξὶ διαλεγόμενον, καὶ κάλ-
20 λιστα ῥωμαϊστὶ τὸν ὡς σύνηθες Ῥωμαίοις, ἀκολουθήσει 5
καὶ τὸ ἑλληνιστὶ ὑγιῶς διαλέγεσθαι τὸν ὡς σύνηθες Ἕλλη-
σι διαλεγόμενον, ἐὰν τῇ συνηθείᾳ ἀλλὰ μὴ τῇ διατάξει
κατακολουθῶμεν. τῇ ἄρα συνηθείᾳ, οὐ τῇ ἀναλογίᾳ
κατακολουθοῦντες ἑλληνιοῦμεν. καθόλου τε ἤτοι σύμφω- 219
νός ἐστι τῇ συνηθείᾳ ἡ ἀναλογία ἢ διάφωνος. καὶ εἰ μὲν 10
25 σύμφωνος, πρῶτον μὲν ὡς ἐκείνη οὐκ ἔστι τεχνική, οὕτως
οὐδὲ αὕτη γενήσεται τέχνη· τὸ γὰρ ἀτεχνίᾳ συμφωνοῦν
πάντως καὶ αὐτό ἐστιν ἄτεχνον. καὶ ἄλλως, ⟨εἰ⟩ τὸ κατ'
ἐκείνην ἑλληνικὸν καὶ κατὰ ταύτην ἐκείνῃ συμφωνοῦσαν
γενήσεται ἑλληνικόν, καὶ τὸ κατ' ἐκείνην ἔσται τοιοῦτον. 15
30 τούτου δ' οὕτως ἔχοντος οὐ δεησόμεθα τῆς ἀναλογίας 220
649 πρὸς | διάγνωσιν τοῦ ἑλληνισμοῦ, ἔχοντες εἰς τοῦτο τὴν
συνήθειαν. εἰ δὲ διάφωνός ἐστιν αὕτη, πάντως ἑτέραν
εἰσηγουμένη συνήθειαν παρ' ἐκείνην καὶ οἱονεὶ βάρβαρον
ἀδόκιμος γενήσεται καὶ ὡς προσκοπὴν ἐμποιοῦσα τελέως 20
5 ἄχρηστος.

Ἐπιχειρητέον δὲ καὶ ἀπὸ τῆς συστάσεως τῆς τέχνης 221
αὐτῶν. θέλουσι μὲν γὰρ καθολικά τινα θεωρήματα συ-
στησάμενοι ἀπὸ τούτων πάντα τὰ κατὰ μέρος κρίνειν
ὀνόματα, εἴτε ἑλληνικά ἐστιν εἴτε καὶ μή· οὐ δύνανται 25
10 δὲ [καὶ] τοῦτο ποιεῖν διὰ τὸ μήτε τὸ καθολικὸν αὐτοῖς
συγχωρεῖσθαι ὅτι καθολικόν ἐστι, μήτ' ἄλλως ἀναπτυσσό-
μενον τοῦτο τὴν τοῦ καθολικοῦ σώζειν φύσιν. λαμβα- 222
νέσθω δὲ εἰς τοῦτο παραδείγματα ἀπ' αὐτῶν τῶν γραμ-

**1** *ἃ παρ' ἀναλογίαν* Gen.: *ἅπερ ἀ—ς*G: corr. Theiler || **2** *τὴν* om. VC || **4.5.6** *ὦ σύννηθες* G: corr. Bekk. || **4** *θρακιστὶ* G: corr. Bekk. | *μάλιστα* VC || **5** *τῶν* AB | *ἀκολουθήσει — 6 ἕλλησι* om E: quorum in locum *ἔστι θρακιστὶ* D || **13** *εἰ* supplevi sec. Herv. et Bury, qui dubitat, an delenda sint 13.14 *κατ' ἐκείνην ἑλληνικὸν* || **14** *κατ' αὐτὴν* G: corr. Bury | *ἐκείνην* G: corr. Gen. || **15** *ἐκείνην* ⟨*ἀνελλήνιστον καὶ κατ' αὐτὴν*⟩ *ἔσται* Mette || **18** an *αὐτῇ* dub. Bekk. || **19** *εἰσηγουμένην* VC || **25** *δύναται* B || **26** [ ] Bekk. || **29** *παραδείγματα* ELVr: *παραδείγματι* D: *παράδειγμα* ς

ματικῶν. ζητήσεως γὰρ οὔσης ἐπί τινος τῶν κατὰ μέρος
ὀνομάτων, οἷον ἐπὶ τοῦ εὐμενής, πότερον χωρὶς τοῦ σ 15
προενεκτέον ἐστὶ τὴν πλάγιον πτῶσιν, εὐμενοῦ λέγοντας,
ἢ σὺν τῷ σ, εὐμενοῦς, πάρεισιν οἱ γραμματικοὶ καθολι-
5 κόν τι προφερόμενοι καὶ ἀπὸ τούτου τὸ ζητούμενον βε-
βαιοῦντες. φασὶ γὰρ 'πᾶν ὄνομα ἁπλοῦν, εἰς ης λῆγον,
ὀξύτονον, τουτὶ ἐξ ἀνάγκης σὺν τῷ σ κατὰ τὴν γενικὴν 20
ἐξενεχθήσεται, οἷον εὐφυής εὐφυοῦς, εὐσεβής εὐσεβοῦς,
εὐκλεής εὐκλεοῦς· τοίνυν καὶ τὸ εὐμενής ὀξυτόνως ἐκφε-
10 ρόμενον παραπλησίως τούτοις διὰ τοῦ σ ἐπὶ τῆς γενικῆς
223 προενεκτέον, εὐμενοῦς λέγοντας'. οὐκ ᾔδεσαν δὲ οἱ θαυ-
μάσιοι πρῶτον μὲν ὅτι ὁ εὐμενοῦ ἀξιῶν λέγειν οὐ δώσει 25
αὐτοῖς καθολικὸν εἶναι τὸ παράπηγμα· τοῦτο γοῦν αὐτὸ
τὸ εὐμενής ἁπλοῦν ὄνομα καθεστὼς καὶ ὀξύτονον οὐ φή-
15 σει σὺν τῷ σ ἐκφέρεσθαι, ἀλλὰ ἐκείνους τὸ ζητούμενον
224 ὡς ὁμολογούμενον συναρπάζειν. ἄλλως τε, εἰ καθολικόν
ἐστι τὸ παράπηγμα, ἤτοι πάντα τὰ κατὰ μέρος ὀνόματα 30
ἐπελθόντες καὶ τὴν ἐν αὐτοῖς ἀναλογίαν κατανοήσαντες
συνέθεσαν αὐτό, ἢ οὐ πάντα. ἀλλὰ πάντα μὲν οὐκ ἐπελη- |
20 λύθασιν· ἄπειρα γάρ ἐστι, τῶν δὲ ἀπείρων οὐκ ἔστι τις 650
γνῶσις. εἰ δὲ τινά, πόθεν ὅτι πᾶν ὄνομα τοιοῦτόν ἐστιν;
οὐ γὰρ ὅ τί τισι συμβέβηκεν ὀνόμασι, τοῦτο καὶ πᾶσιν.
225 ἀλλ' εἰσί τινες οἱ γελοίως πρὸς τοῦτο ἀπαντῶντες καὶ λέ-
γοντες ὅτι ἐκ πλειόνων ἐστὶ τὸ καθολικὸν παράπηγμα. 5
25 οὐχ ἑώρων γὰρ ὅτι πρῶτον μὲν ἄλλο τί ἐστι τὸ καθολι-
κὸν καὶ ἄλλο τὸ ὡς ἐπὶ τὸ πολύ, καὶ τὸ μὲν καθολικὸν
οὐδέποτε ἡμᾶς διαψεύδεται, τὸ δ' ὡς ⟨ἐπὶ⟩ τὸ πολὺ κατὰ
226 τὸ σπάνιον· εἶθ' ὅτι καὶ εἰ ἐκ πολλῶν ἐστι τὸ καθολικόν,
οὐ πάντως τὸ τοῖς πολλοῖς ὀνόμασι συμβεβηκός, τοῦτο 10
30 ἐξ ἀνάγκης καὶ πᾶσι τοῖς ὁμοειδέσι συμβέβηκεν, ἀλλ' ὃν
τρόπον ἐν πολλοῖς καὶ ἄλλοις φέρει τινὰ κατὰ μονοείδειαν

§ 222 *φασὶ γάρ* similia v. anecd. Gr. 975 sqq. et 1127 Bekker

**11** *προσενεκτέον* ς | *δὲ* om. C || **12** *μὲν* om. ED || **15** *ἐκείνους* om. ς Herv. | *ἀδηλούμενον* ς || **19** *συνέθησαν* LVr || **23** *γελοίως πρὸς τοῦτο* VrED: *γελοίως εἰς πρὸς τοῦτο* L: *πρὸς τοῦτο γελοίως* ς edd. || **25** *μὲν γὰρ ὅτι πρῶτον* ς || **26** *ἄλλος ὡς* B || **27** ⟨ ⟩ supplevi || **29** *τὸ* om. B

650

ἡ φύσις, οἷον ἐν ὄφεσι μὲν ἀπείροις οὖσι τὸν κεράστην κερασφόρον, ἐν τετράποσι δὲ τὸν ἐλέφαντα προβοσκίδι
15 κεχρημένον, ἐν ἰχθύσι δὲ τὸν γαλεὸν ζῳοτόκον, ἐν λίθοις δὲ τὸν μάγνητα σιδηραγωγόν, οὕτως εὔλογόν ἐστι καὶ ἐν πολλοῖς ὁμοιοπτώτοις ὀνόμασιν εἶναί τι ὄνομα, ὃ μὴ 5 ὁμοίως τοῖς πολλοῖς ὀνόμασι κλίνεται. ὅθεν παρέντες 227 ζητεῖν εἰ ἀνάλογόν ἐστι τοῖς πολλοῖς, σκοπῶμεν πῶς αὐτῷ
20 χρῆται ἡ συνήθεια, πότερον ἀνάλογον ἐκείνοις ἢ κατὰ ἴδιον τύπον· καὶ ὡς ἂν ᾖ χρωμένη, οὕτω καὶ ἡμεῖς προοισόμεθα. 10

Περιδιωκόμενοι δὴ ποικίλως οἱ γραμματικοὶ θέλουσιν ἀναστρέφειν τὴν ἀπορίαν. πολλαὶ γάρ, φασίν, εἰσὶ συνή- 228
25 θειαι, καὶ ἄλλη μὲν Ἀθηναίων ἄλλη δὲ Λακεδαιμονίων, καὶ πάλιν Ἀθηναίων διαφέρουσα μὲν ἡ παλαιὰ ἐξηλλαγμένη δὲ ἡ νῦν, καὶ οὐχ ἡ αὐτὴ μὲν τῶν κατὰ τὴν 15 ἀγροικίαν ἡ αὐτὴ δὲ τῶν ἐν ἄστει διατριβόντων, παρὸ καὶ ὁ κωμικὸς λέγει Ἀριστοφάνης (fr. 685 Kock)

30 διάλεκτον ἔχοντα μέσην πόλεως,
οὔτ' ἀστείαν ὑποθηλυτέραν
οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν. | 20

651 πολλῶν οὖν οὐσῶν συνηθειῶν, [ὡς] φασί, ποίᾳ χρησό- 229 μεθα; οὔτε γὰρ πάσαις κατακολουθεῖν δυνατὸν διὰ τὸ μάχεσθαι πολλάκις, οὔτε τινὶ ἐξ αὐτῶν, ἐὰν μή τις τεχνικῶς προκριθῇ. ἀλλὰ πρῶτον μέν, φήσομεν, τὸ ζητεῖν
5 ποίᾳ χρηστέον συνηθείᾳ ἔστιν ἴσον τῷ ⟨μὴ⟩ εἶναί τινα 25 τέχνην περὶ ἑλληνισμόν. αὕτη γάρ, φημὶ δ' ἡ ἀναλογία, ὁμοίου καὶ ἀνομοίου ἐστὶ θεωρία· τὸ δὲ ὅμοιον καὶ ἀνόμοιον λαμβάνετε ἀπὸ τῆς συνηθείας· κἂν μὲν ᾖ τετριμμένον, χρῆσθε αὐτῷ, εἰ δὲ μή, οὐκέτι. πευσόμεθα οὖν καὶ 230
10 ἡμεῖς, ἀπὸ ποίας συνηθείας λαμβάνετε τὸ ὅμοιον καὶ τὸ 30 ἀνόμοιον; πολλαὶ γάρ εἰσι καὶ πολλάκις μαχόμεναι. ὅπερ

2 τεράποσι B: τετράπουσι C || 5 εἶναι τὸ ὄνομα D || 21 ὡς del. Bekk. | χρησώμεθα LVr || 25 ἴσον LED | ⟨ ⟩ Mette | τέχνην τινα VC || 26 δὲ ἡ LVrED: δὴ ς, sed δὴ ἡ R || 28 λαμβάνεται G: corr. Bekk. || 29 χρῆσθαι G: corr. Bekk. || 30 λαμβάνεται VC Herv.

δὲ ἀπολογούμενοι πρὸς τοῦτο ἐρεῖτε, τοῦτο καὶ παρ' ἡμῶν
231 ἀκούσεσθε. καὶ πάλιν ὅταν λέγητε τὸν βαρβαρισμὸν πα-
ράπτωσιν ἐν ἁπλῇ λέξει παρὰ τὴν συνήθειαν, ἀνταπορή-
σομεν λέγοντες ποίαν φατὲ πολλῶν οὐσῶν, καὶ ᾗ ἂν εἴ- *15*
232 πητε, ταύτῃ φήσομεν καὶ ἡμεῖς ἀκολουθεῖν. κοινῆς οὖν
6 οὔσης ἀπορίας οὐκ ἄπορος ἡ παρ' ἡμῶν ταύτης ἐστὶ λύ-
σις. τῶν γὰρ συνηθειῶν αἱ μέν εἰσι κατὰ τὰς ἐπιστήμας
αἱ δὲ κατὰ τὸν βίον. καὶ γὰρ ἐν φιλοσοφίᾳ ὀνομάτων
τινῶν ἐστιν ἀποδοχὴ καὶ ἐν ἰατρικῇ ἐξαιρέτως, καὶ ἤδη *20*
10 κατὰ μουσικὴν καὶ γεωμετρίαν, ἔστι δὲ καὶ βιωτική τις
ἀφελὴς συνήθεια τῶν ἰδιωτῶν, κατὰ πόλεις καὶ ἔθνη δια-
233 φέρουσα. ὅθεν ἐν φιλοσοφίᾳ μὲν τῇ τῶν φιλοσόφων στοι-
χήσομεν, ἐν ἰατρικῇ δὲ τῇ ἰατρικωτέρᾳ, ἐν δὲ τῷ βίῳ τῇ
234 συνηθεστέρᾳ καὶ ἀπερίττῳ καὶ ἐπιχωριαζούσῃ. παρὸ καὶ *25*
15 διχῶς τοῦ αὐτοῦ πράγματος λεγομένου πειρασόμεθα πρὸς
τὰ παρόντα ἁρμοζόμενοι πρόσωπα τὸ μὴ γελώμενον προ-
φέρεσθαι, ὁποῖόν ποτ' ἂν ᾖ κατὰ τὴν φύσιν. οἷον τὸ
αὐτὸ ἀρτοφόριον καὶ πανάριον λέγεται, καὶ πάλιν τὸ αὐτὸ |
σταμνίον καὶ ἀμίδιον καὶ ἴγδις καὶ θυΐα. ἀλλὰ στοχαζό- *652*
20 μενοι τοῦ καλῶς ἔχοντος καὶ σαφῶς καὶ τοῦ μὴ γελᾶσθαι
ὑπὸ τῶν διακονούντων ἡμῖν παιδαρίων [καὶ ἰδιωτῶν] πα-
νάριον ἐροῦμεν, καὶ εἰ βάρβαρόν ἐστιν, ἀλλ' οὐκ ἀρτοφο-
ρίδα, καὶ σταμνίον, ἀλλ' οὐκ ἀμίδα, καὶ θυΐαν μᾶλλον ἢ *5*
235 ἴγδιν. καὶ πάλιν ἐν διαλέξει ἀποβλέποντες πρὸς τοὺς
25 παρόντας ⟨τὰς⟩ μὲν ἰδιωτικὰς λέξεις παραπέμψομεν, τὴν
δὲ ἀστειοτέραν καὶ φιλολόγον συνήθειαν μεταδιώξομεν·
ὡς γὰρ ἡ φιλολόγος γελᾶται παρὰ τοῖς ἰδιώταις, οὕτως
ἡ ἰδιωτικὴ παρὰ τοῖς φιλολόγοις. δεξιῶς οὖν ἑκάστη πε- *10*

§ **234** *ἴγδις ... θυΐα* cf. Antiphanis fr. 127 Kock

**2** *ἀκούσεσθαι* BC | *λέγηται* C || **3** *ἀλήθειαν* D || **4** *εἴποιτε* ς || **6** *οὔσ⟨ης τ⟩ῆς* Mette || **11** *ἀσφαλὴς* LVr marg. codicis, e quo ed. Gen. || **14** *ἀπερίπτω* B || **18** et **22** an *ἀρτοφόρον* dub. Bekk. coll. Polluc. 6, 32 (fasc. 2 p. 9, 14 Bethe) || **18** *καὶ πάλιν* iterat. L || **19** *ἴγδιον καὶ θυῖα* ED: *ἴγδις καὶ θυῖα* LVr || **20** post *ἔχοντος* al. man. marg. insert. *καὶ καλῶς* B || **21** [ ] Harder || **22** *ἀρτοφόριον* mavult Theiler || **23** *θυῖαν* LVrED || **25** *τὰς* add. Bekk.

652 ριστάσει τὸ πρέπον ἀποδιδόντες δόξομεν ἀμέμπτως ἑλ-
ληνίζειν.

Ἄλλως τε, ἐπεὶ ἐγκαλοῦσιν ὡς ἀνωμάλῳ καὶ πολυειδεῖ 236
τῇ συνηθείᾳ, καὶ ἡμεῖς ἀπὸ τῆς αὐτῆς ἀφορμῆς αὐτοῖς
15 ἐγκαλέσομεν. εἰ γὰρ ἡ ἀναλογία ὁμοίου παράθεσίς ἐστι, 5
τὸ δὲ ὅμοιον ἐκ τῆς συνηθείας, ἡ δὲ συνήθεια ἀνώμαλός
τε καὶ ἄστατος, δεήσει καὶ τὴν ἀναλογίαν μὴ ἔχειν ἑστῶτα
παραπήγματα. καὶ τοῦτο πάρεστι διδάσκειν ἐπὶ τῶν ὀνο- 237
μάτων καὶ τῶν ῥημάτων καὶ μετοχῶν καὶ καθόλου τῶν
20 ἄλλων ἁπάντων. οἷον ἐπὶ μὲν τῶν ὀνομάτων παρόσον τὰ 10
κατὰ τὰς ὀρθὰς πτώσεις ἀνάλογα ὄντα καὶ ὅμοια, ταῦτα
κατὰ τὰς πλαγίους ἀνομοίως τε καὶ οὐκ ἀναλόγως σχη-
ματίζεται, οἷον Ἄρης Χάρης χάρτης — Ἄρεως Χάρητος
χάρτου, καὶ Μέμνων Θέων λέων — Μέμνονος Θέωνος
25 λέοντος, Σκόπας μέλας Ἄβας — Σκόπα μέλανος Ἄβαν- 15
τος. ἐπὶ δὲ τῶν ῥηματικῶν πολλὰ ὁμοίως κατὰ τὸν ἐνε- 238
στῶτα χρόνον λεγόμενα οὐκ ἀναλόγως ἐν τοῖς ἄλλοις
χρόνοις σχηματίζεται, ⟨οἷον εὑρίσκει ἀρέσκει — ηὕρηκεν
ἀρήρεκεν⟩, ἐνίων δὲ συζυγίαι τινὲς ἐκλελοίπασιν καὶ ἔκ-
30 τονε μὲν λέγεται, ἔκταγκε δὲ οὐ λέγεται· ἀλήλιπται μὲν 20
653 εἴποι τις | ἄν, ἤλειπται δὲ οὐκέτι. ἐπὶ δὲ τῶν μετοχῶν
βοῶν σαρῶν νοῶν — βοῶντος σαροῦντος νοοῦντος, καὶ ἐπὶ
τῶν προσηγοριῶν ἄναξ ἄβαξ — ἄνακτος ἄβακος, γραῦς
ναῦς — γραός νηός. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν τοιούτων· 239
5 ἄρχων γὰρ λέγεται καὶ ὀνοματικῶς καὶ ὁ τὴν ἀρχὴν διέ- 25
πων· ἀλλ' Ἄρχωνος μὲν γίνεται κατὰ πλάγιον πτῶσιν
τὸ ὀνοματικόν, ἄρχοντος δὲ τὸ μετοχικόν. καὶ κατὰ ὅμοιον
τρόπον μένων θέων νέων μετοχικὰ ὄντα καὶ ὀνοματικὰ

§ 238 ἀρήρεκεν cf. Phrynich. p. 95 Rutherford et Lobeck ad l.

4 ἀφορμὴν A || 6 ἀνωμαλής A || 11 καὶ pro κατὰ B || 12 τοὺς A || 13 χάρης om. B || 14 μένων λέων θέων μένοντος λέοντος θέωνος EDLVrAB: μένων θέων λέων μένοντος θέωνος λέοντος V: μένον θέων etc. C: νέων pro λέων et μένονος pro μένοντος Fabr.: corr. Bekk. | θέωνος — 15 μέλανος om. B, al. man. in marg. replet. || 18 χρονοίως B | οἷον αὐλεῖ ἀρέσκει ηὔληκν ἀρήρεκεν post 19 ἐκλελ. habent G: Arp. Harder: correxit Theiler || 19 ἔκτονε oi. Theiler: κτείνεται G || 25 ὀνομαστικῶς G || 26 ἄρχωνος LVrED: ἄρχων ς || 27 et 28 ὀνομαστικ. LVr

653

διαφερούσας λαμβάνει τὰς κλίσεις· Μένωνος μὲν γὰρ γίνεται τὸ ὀνοματικόν, μένοντος δὲ ἡ μετοχή, καὶ Θέω- 10
240 νος μὲν τὸ ὀνοματικόν, θέοντος δὲ ⟨ἡ⟩ μετοχή ἐστιν. πλὴν ἐκ τούτων συμφανὲς ὡς τῆς συνηθείας ἀνωμάλου καθε-
5 στώσης οὐχ ἕστηκε τὰ παραπήγματα τῆς ἀναλογίας, ἀλλ' ἀνάγκη ἀποστάντας αὐτῶν τοῖς κατὰ τὴν συνήθειαν σχη- ματισμοῖς προσέχειν, παρέντας τὸ ἀνάλογον. 15

## Περὶ ἐτυμολογίας

241 Τὰ δὲ αὐτὰ λεκτέον πρὸς αὐτοὺς καὶ ὅταν δι' ἐτυμο- λογίας κρίνειν θέλωσι τὸν ἑλληνισμόν. πάλιν γὰρ ἤτοι
10 σύμφωνός ἐστι τῇ συνηθείᾳ ἡ ἐτυμολογία ἢ διάφωνος· καὶ εἰ μὲν σύμφωνος, παρέλκει, εἰ δὲ διάφωνος, οὐ χρη- στέον αὐτῇ ὡς προσκοπὴν ἐμποιούσῃ μᾶλλον τοῦ βαρβα- 20 ρίζειν ἢ σολοικίζειν. καὶ καθόλου μετακτέον τὰς ὁμοίας
242 ἀντιρρήσεις ταῖς ἔμπροσθεν ἡμῖν ἀποδοθείσαις. ἰδιαί-
15 τερον δὲ ἐκεῖνο λεκτέον. τὸ ἐτυμολογίᾳ κρινόμενον ὄνο- μα ὅτι ἑλληνικόν ἐστιν, ἤτοι ἔτυμα πάντως ἔχειν ὀφείλει τὰ προηγούμενα αὐτοῦ ὀνόματα ἢ εἴς τινα τῶν φυσικῶς 25 ἀναφωνηθέντων καταλήγειν. καὶ εἰ μὲν ἀπὸ ἐτύμων πάντως, κατὰ τοῦτο εἰς ἄπειρον τῆς ἐκπτώσεως γινομέ-
20 νης ἄναρχος ἔσται ἡ ἐτυμολογία, καὶ οὐκ εἰσόμεθα εἰ ἑλ- ληνικόν ἐστι τὸ ἔσχατον λεγόμενον ὄνομα, ἀγνοοῦντες
243 ποῖον ἦν τὸ ἀφ' οὗ πρῶτον κατάγεται. οἷον εἰ ὁ λύχνος 30 εἴρηται ἀπὸ τοῦ λύειν τὸ νύχος, ὀφείλομεν μαθεῖν εἰ καὶ | τὸ νύχος ἀπό τινος ἑλληνικοῦ εἴρηται, καὶ τοῦτο πάλιν 654
25 ἀπ' ἄλλου· καὶ οὕτως εἰς ἄπειρον γινομένης τῆς ἀνόδου καὶ ἀνευρέτου καθεστῶτος τοῦ πρῶτον ἀναφωνηθέντος ὀνόματος, συνακαταληπτεῖται καὶ τὸ εἰ ἑλληνικῶς ὁ λύχ-
244 νος εἴρηται. εἰ δὲ ἐπί τινα τῶν ἀνετύμως κειμένων ὀνο- 5 μάτων καταλήγοι τὸ ἐτυμολογούμενον ὄνομα, ὃν τρόπον

§ **243** ad *λύειν τὸ νύχος* Mette laudat Etymol. Magn. p. 572, 18 Gaisford; Orion. etymol. genuin. ed. R. Reitzenstein, progr. Rostock 1891/92 p. 14; schol. H[3]M[4] in Hom. τ 34

3 *ἡ* add. Bekk. || **8** *τὰ αὐτὰ δὲ* VC || **9** *ἤτοι* LVrς: *εἴ τι* ED || **12** *προκοπὴν* ς || **13** *ἢ σολοικίζειν* om. B || **16** *ἕτοιμα* A || **17** *φυσι- κῶν* LVr || **19** *πάντων* G Bekk.: corr. Fabr.

654
ἐκεῖνα τὰ εἰς ἃ κατέληξεν οὐ διότι ἔστιν ἔτυμα παραδεξόμεθα, ἀλλὰ διότι τέτριπται κατὰ τὴν συνήθειαν, οὕτω καὶ τὸ δι' ἐτυμολογίας κρινόμενον παραδεξόμεθα οὐ διὰ
10 τὴν ἐτυμολογίαν ἀλλὰ διὰ τὸ σύνηθες. οἷον προσκεφάλαιον ἀπὸ τοῦ τῇ κεφαλῇ προστίθεσθαι εἴρηται, ἡ δὲ κε- 5
φαλὴ καὶ τὸ πρός, ὅ ἐστι πρόθεσις, ἀνετύμως κέκληται. τοίνυν ὡς ταῦτα χωρὶς ἐτυμολογίας πεπίστευται διότι 245
ἐστὶν ἑλληνικά, τῆς συνηθείας αὐτοῖς χρωμένης, οὕτω
15 καὶ τὸ προσκεφάλαιον δίχα ἐτυμολογίας ἔσται πιστόν. ἄλλως τε ἐνίοτε τὸ αὐτὸ πρᾶγμα δυσὶν ὀνόμασι καλεῖται, 10
τῷ μὲν ἐτυμολογίαν ἐπιδεχομένῳ τῷ δὲ ἀνετυμολογήτῳ, καὶ οὐ διὰ τοῦτο τὸ μὲν ἔτυμον λέγεται ἑλληνικὸν τὸ δὲ ἀνέτυμον βαρβαρικόν, ἀλλ' ὡς ἐκεῖνο ἑλληνικόν, οὕτω
20 καὶ τοῦτο· οἷον τὸ ὑφ' ἡμῶν καλούμενον ὑποπόδιον 246
Ἀθηναῖοι καὶ Κῷοι χελωνίδα καλοῦσιν· ἀλλὰ ἔστι τὸ 15
μὲν ὑποπόδιον ἔτυμον, ἡ δὲ χελωνὶς ἀνέτυμον, καὶ οὐ διὰ τοῦτο οἱ μὲν Ἀθηναῖοι λέγονται βαρβαρίζειν ἡμεῖς δὲ ἑλληνίζειν, ἀλλ' ἀμφότεροι ἑλληνίζειν. τοίνυν ὡς ἐκεῖνοι 247
25 διὰ τὴν συνήθειαν καὶ οὐ διὰ τὴν τοῦ ὀνόματος ἐτυμότητα λέγονται ἑλληνίζειν, οὕτω καὶ ἡμεῖς διὰ τὸ ἐν τῇ αὐτῶν 20
συνηθείᾳ τετριμμένον ἔχειν τὸ τοιοῦτον ὄνομα καὶ οὐ διὰ τὴν τῆς ἐτυμολογίας πίστιν ἑλληνιοῦμεν.
30 Ἀλλ ὅτι μὲν τὸ τεχνικὸν μέρος τῆς γραμματικῆς ἀνυπόστατόν ἐστιν, αὐτάρκως ἐκ τῶν εἰρημένων δέδεικται· χωρῶμεν δὲ ἀκολούθως καὶ ἐπὶ τὸ ἱστορικόν. 25

## *Εἰ σύστατον τὸ ἱστορικόν*

Ὅτι μὲν οὖν ἀξιοῦται τοῦτο ὁλοσχερῶς εἶναι μέρος 248
γραμματικῆς, συμφανές. Ταυρίσκος γοῦν ὁ Κράτητος |
655 (F 18 Mette) ἀκουστής, ὥσπερ οἱ ἄλλοι κριτικοὶ ὑποτάσσων τῇ κριτικῇ τὴν γραμματικήν, φησὶ τῆς κριτικῆς εἶναι τὸ μέν τι λογικὸν τὸ δὲ τριβικὸν τὸ δ' ἱστορικόν, 30

**6** *πρόσθεσις* ED || **7** [*δι*]*ότι* Bekk.: trad. defendit Mette || **8** *αὐτῆς* VC || **12 et 13** *ἕτοιμον* et *ἀνέτοιμον* A || **20** *αὐτῶν* G || **27** *ὁ ἀκράτητος* VC || **28** *ἀκουτιστὴς* ED || **30** *τριβιὸν* B

249 λογικὸν μὲν τὸ στρεφόμενον περὶ τὴν λέξιν καὶ τοὺς γραμ-
ματικοὺς τρόπους, τριβικὸν δὲ τὸ περὶ τὰς διαλέκτους 5
καὶ τὰς διαφορὰς τῶν πλασμάτων καὶ χαρακτήρων, ἱστο-
ρικὸν δὲ τὸ περὶ τὴν προχειρότητα τῆς ἀμεθόδου ὕλης.
250 Διονύσιος δὲ ὁ Θρᾷξ ἓξ μέρη γραμματικῆς εἶναι λέγων,
6 ἅπερ ἡμεῖς ἀνώτερον ὁλοσχερῶς τρία προσηγορεύσαμεν,
ἐν τούτοις καὶ τὸ ἱστορικὸν ἀποδίδωσιν· εἶναι γάρ φησι 10
γραμματικῆς μέρη ἀνάγνωσιν ἐντριβῆ κατὰ προσῳδίαν,
ἐξήγησιν κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους,
10 λέξεων καὶ ἱστοριῶν ἀπόδοσιν, ἐτυμολογίας εὕρεσιν, ἀνα-
λογίας ἐκλογισμόν, κρίσιν ποιημάτων, ἀτόπως διαιρού-
μενος καὶ τάχα μὲν ἀποτελέσματά τινα καὶ μόρια γραμ- 15
251 ματικῆς [οὐ] μέρη ταύτης ποιῶν, ὁμολόγως δὲ τὴν μὲν
ἐντριβῆ ἀνάγνωσιν καὶ τὴν ἐξήγησιν καὶ τὴν κρίσιν
15 τῶν ποιημάτων ἐκ τῆς περὶ ποιητὰς καὶ συγγραφεῖς
θεωρίας λαμβάνων, τὴν δὲ ἐτυμολογίαν καὶ ἀναλογίαν
ἐκ τοῦ τεχνικοῦ, τοῖς δὲ τὸ ἱστορικὸν ἀντεκτιθείς, ἐν 20
252 ἱστοριῶν καὶ λέξεων ἀποδόσει κείμενον. Ἀσκληπιάδης
δὲ ἐν τῷ Περὶ γραμματικῆς τρία φήσας εἶναι τὰ πρῶτα
20 τῆς γραμματικῆς μέρη, [ἀνάγνωσιν ἐντριβῆ καὶ κατὰ
προσῳδίαν,] τεχνικὸν ἱστορικὸν γραμματικόν, ὅπερ ἀμ-
φοτέρων ἐφάπτεται, φημὶ δὲ τοῦ ἱστορικοῦ καὶ τοῦ τε-
χνικοῦ, τριχῇ ὑποδιαιρεῖται τὸ ἱστορικόν· τῆς γὰρ ἱστο- 25
ρίας τὴν μέν τινα ἀληθῆ εἶναί φησι τὴν δὲ ψευδῆ τὴν
25 δὲ ὡς ἀληθῆ, καὶ ἀληθῆ μὲν τὴν πρακτικήν, ψευδῆ δὲ
τὴν περὶ πλάσματα καὶ μύθους, ὡς ἀληθῆ δὲ οἷά ἐστιν
253 ἡ κωμῳδία καὶ οἱ μῖμοι· τῆς δὲ ἀληθοῦς τρία πάλιν
μέρη· ἡ μὲν γάρ ἐστι περὶ τὰ πρόσωπα θεῶν καὶ ἡρώων 30
καὶ ἀνδρῶν ἐπιφανῶν, ἡ δὲ περὶ τοὺς τόπους καὶ χρό-

§ **250** Dionys. Thr. ars gramm. ed. Uhlig § 1. cf. schol. in Dionys. Thr. 735sqq. anecd. Gr. Bekker = 168, 19 Hilgard || **252** Asclepiades v. M I 47

**1** *περὶ* LVrς: *πρὸς* ED | *καὶ* EDLVr edd.: *εἰς* ς Herv. || **5** *τῆς γραμμ.* A || **13** *οὐ* del. Fabr. || **15** post *τῶν* al. man. in marg. add. *ὀνομάτων καὶ τῶν* B | *τε καὶ* ED || **16** *διαλαμβάνων* A || **20.21** *ἀνάγνωσιν — προσῳδίαν* del. Bekk. cl. v. 8 | *καὶ* om. ς || **26** *πλάσματα καὶ* del. Mette | *ἀληθῆ δὲ ⟨τὴν περὶ πλάσματα⟩ οἷα* Mette: ctrdic. Theiler cl. I 92 || **28** *γὰρ* om. B

656 νους, ἡ δὲ περὶ τὰς πράξεις. τῆς δὲ ψευδοῦς, του|τέστι τῆς μυθικῆς, ἓν εἶδος μόνον ὑπάρχειν λέγει τὸ γενεαλογικόν. ὑποτάσσεσθαι δὲ τῷ ἱστορικῷ κοινῶς φησι, καθὼς καὶ Διονύσιος, τὸ περὶ τὰς γλώττας· ἱστορεῖ γὰρ ὅτι κρήγυον ἀληθές ἐστιν ἢ ἀγαθόν. ὡσαύτως δὲ καὶ τὸ 5
5 περὶ παροιμιῶν καὶ ὅρων.

Ἀλλ' ὅτι μὲν γραμματικῆς εἶναι μέρος βούλονται τὸ ἱστορικόν, ἐκ τούτων ἐστὶ συμφανές· λοιπὸν δέ, ἐπεὶ οἱ 254 πλείους ὡμολογήκασιν αὐτὸ ἄτεχνον εἶναι καὶ ἐκ τῆς ἀμεθόδου ὕλης τυγχάνειν, ἀπολελύκασι μὲν ἡμᾶς τῆς ἐπὶ 10
10 πλεῖον πρὸς αὐτοὺς ἀντιρρήσεως, ὅμως δ' οὖν ὑπὲρ τοῦ μὴ ἀνεπισήμαντον παρελθεῖν τὸν τόπον οὕτως ἐρωτητέον. ἤτοι τέχνη ἐστὶν ἡ γραμματικὴ ἢ οὐκ ἔστι τέχνη. καὶ εἰ μὲν οὐκ ἔστιν, αὐτόθεν συμβεβίασται τὸ προκείμενον· εἰ δὲ τέχνη ἐστίν, ἐπεὶ τὰ τῆς τέχνης μέρη πάντως ἐστὶ 15
15 τεχνικά, τὸ δ' ἱστορικὸν ἀμέθοδον ὡμολόγηται τυγχάνειν, οὐκ ἂν εἴη τῆς γραμματικῆς μέρος τὸ ἱστορικόν. καὶ ὅτι τῷ ὄντι τοιοῦτόν ἐστιν, αὐτόθεν σχεδὸν ὑπέπιπτεν. 255 οὐ γάρ, ὥσπερ ἀπὸ καθολικῆς τινος μεθόδου καὶ τεχνικῆς δυνάμεως λέγει ὁ μὲν ἰατρὸς ὅτι τόδε τὸ ἐπὶ μέρους 20
20 ὑγιεινόν ἐστι καὶ τόδε νοσερόν, ὁ δὲ μουσικὸς ὅτι τόδε ἡρμοσμένον καὶ ⟨τόδε⟩ ἀνάρμοστον, καὶ ἡρμοσμένον μὲν κατὰ τήνδε τὴν συμφωνίαν ἀλλ' οὐχὶ κατὰ τήνδε, οὕτω καὶ ὁ γραμματικὸς δύναται ἀπὸ ἐπιστημονικῆς τινος καὶ καθολικῆς θεωρίας ἀπαγγέλλειν, ὅτι ὁ μὲν Πέλοπος ὦμος 25
25 ἐλεφάντινος ἦν ὑπὸ τοῦ Ἄρεως ἢ ὑπὸ Δήμητρος βρωθείς, ἡ δὲ τοῦ Ἡρακλέους κεφαλὴ ἐψέδνωτο ῥυεισῶν αὐτοῦ τῶν τριχῶν ὅτε ὑπὸ τοῦ ἐφορμῶντος τῇ Ἡσιόνῃ κήτους κατεπόθη, ἀλλ' ἵνα τούτων ποιήσηται τὴν ἔκθεσιν, ὀφείλει πᾶσι τοῖς κατὰ μέρος περὶ αὐτῶν ἱστοροῦσιν ἐντυ- 256 30
30 χεῖν. τὸ δὲ πάντων τῶν κατὰ μέρος ποιεῖσθαι τὴν ἀνάληψιν

**2** *ὑπάρχει καὶ λέγει* LVr || **4** *γλώσσας* Fabr. || **6** *ὅρων* G edd.: *γρίφων* dub. Fabr.: *ἑορτῶν* dub. Us. || **14** *ἡ* pro *εἰ* B | *συμβεβίασται* EDLVr: *συμβεβίβασται* ς || **22** *τόδε* add. Herv. || **24** *δύναται* infr. v. 25 post *θεωρίας* iterant ς || **26** *ἐλέφαντος* LVr | *ἄρρεως* ED || **27** *τοῦ* om. A | *αὐτῶν* LVr || **28** *τῶν* om. LVr || **30** *ἱστοροῦσι περὶ αὐτῶν* ς edd. || **31** *ἀντίληψιν* AB Gen. Fabr.

656 αὐτοῖς ἐντυγχάνοντα τοῖς κατὰ μέρος οὐκ ἔστι τεχνικόν.
οὐκ | ἄρα ἐκ τέχνης τινὸς μεθοδεύεται τοῖς γραμματικοῖς 657
257 τὸ ἱστορικόν. καὶ μὴν ἐπεὶ τῆς ἱστορίας ἡ μέν τίς ἐστι
τοπικὴ ἡ δὲ χρονικὴ ἡ δὲ περὶ τὰ πρόσωπα ἡ δὲ περὶ
5 τὰς πράξεις, δῆλον ὡς εἰ μὴ τεχνική ἐστιν ἡ τῶν τόπων
καὶ ἡ τῶν χρόνων ἀπόδοσις, οὐθ' ἡ τῶν προσώπων οὐθ' 5
ἡ τῶν πράξεων τεχνικὴ γενήσεται· τί γὰρ διήνεγκε τού-
των ἢ ἐκείνων ἀποκρατεῖν; ἀλλὰ μὴν οὐδὲν ἔχει τεχνικὸν
τὸ ἀποδιδόναι τοπικὴν ἱστορίαν, λέγοντας ὅτι, εἰ τύχοι,
10 Βριλησὸς μὲν καὶ Ἀράκυνθος τῆς Ἀττικῆς ἐστιν ὄρος,
Ἀκάμας δὲ τῆς Κυπρίας ἀκρωτήριον, ἢ χρονικὴν ἐκτί- 10
θεσθαι, καθάπερ ὅτι Ξενοφάνης Κολοφώνιος (fr. A 8
Diels) ἐγένετο περὶ τὴν τεσσαρακοστὴν ὀλυμπιάδα.
τοῦτο γὰρ καὶ ὁ μὴ ὢν γραμματικὸς ἄλλως δὲ περίεργος
258 δυνήσεται ποιεῖν. τοίνυν οὐδὲ τὸ περὶ προσώπων καὶ
16 πράξεων ἀπαγγέλλειν τεχνικὸν γενήσεται, οἷον ὅτι Πλά-
των μὲν ὁ φιλόσοφος Ἀριστοκλῆς πρότερον ἐκαλεῖτο 15
καὶ ἐτέτρητο τὸ οὖς ἐλλόβιον φορήσας ὅτ' ἦν μειρα-
κίσκος, Πυθιὰς δὲ ἡ Ἀριστοτέλους θυγάτηρ τρισὶν ἀν-
20 δράσιν ἐγαμήθη, πρῶτον μὲν Νικάνορι τῷ Σταγειρίτῃ,
οἰκείῳ ὄντι Ἀριστοτέλους, δευτέρῳ δὲ Προκλεῖ Δημαρά- 20
του τοῦ Λακεδαιμονίων βασιλέως ἀπογόνῳ, ὃς καὶ δύο
ἐξ αὐτῆς τεκνοῦται παῖδας, Προκλέα τε καὶ Δημάρατον
τοὺς παρὰ Θεοφράστῳ φιλοσοφήσαντας, τρίτῳ δὲ Μη-
25 τροδώρῳ ἰατρῷ, Χρυσίππου μὲν τοῦ Κνιδίου μαθητῇ
Ἐρασιστράτου δὲ ὑφηγητῇ, ᾧ γίνεται παῖς Ἀριστοτέλης. 25
259 ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια πρὸς τῷ τελέως ἀχρη-
στεῖν ἔτι οὐδεμίαν ἐμφαίνει τεχνικὴν δύναμιν, ὥστε οὐδὲ
ἡ τῶν ἱστορικῶν ἀπόδοσίς ἐστιν ἔντεχνος. ἄλλως τε καθ-

§ 257 Ἀράκυνθος cf. Dionys. Perieget. 431

3 ἐπὶ EDL || 6 ἡ post καὶ om. ς | ἀπόδοσις EDLAB: ἀπόδειξις VCHerv.: ἀπόδ(ος)ειξις R || 10 βρίλησος Gen. Fabr. | ἀράκινθος G: corr. Fabr. | ἐστιν om. V, in marg. suppl. || 19 ἡ τοῦ ἀριστοτ. LVr Gen. Fabr. || 20 νικάνορνι A || 21 εἰκείων C || 23 παίδας C: πέδας V || 25 κνιμιδίου VC || 29 ἡ om. VC | ἱστοριῶν dub. Bekk. scr. Bury | ἔντεχνον in rasura E: ἄτεχον D | καθὼς edd. καὶ ὡς G

657
ὡς ἀνώτερον ὑπεδείξαμεν, οὔτε τῶν ἀπείρων οὔτε τῶν
30 ἄλλοτε ἄλλως γινομένων ἔστι τις τεχνικὴ γνῶσις. αἱ δέ 260
γε κατὰ μέρος ἱστορίαι ἄπειροί τε διὰ τὸ πλῆθός εἰσι,
καὶ οὐχ ἑστῶσαι διὰ τὸ μὴ τὰ αὐτὰ περὶ τοῦ αὐτοῦ
658 παρὰ πᾶσιν ἱστορεῖσθαι. οἷον (οὐκ ἄτοπον γάρ), ἵνα συμ- 5
φυέσι τε καὶ οἰκείοις χρησώμεθα τῶν πραγμάτων παρα-
δείγμασιν. ὑπόθεσιν γὰρ ἑαυτοῖς ψευδῆ λαμβάνοντες οἱ
ἱστορικοὶ τὸν ἀρχηγὸν ἡμῶν τῆς ἐπιστήμης Ἀσκληπιὸν
5 κεκεραυνῶσθαι λέγουσιν, οὐκ ἀρκούμενοι τῷ ψεύσματι,
† ἐν ᾧ † καὶ ποικίλως αὐτὸ μεταπλάττουσι, Στησίχορος 261
(fr. 16 Bgk.[4]) μὲν ἐν Ἐριφύλῃ εἰπὼν ὅτι τινὰς τῶν ἐπὶ 11
Θήβαις πεσόντων ἀνιστᾷ, Πολύανθος δὲ ὁ Κυρηναῖος
(37 F 1 FGrHist) ἐν τῷ περὶ τῆς Ἀσκληπιαδῶν γενέ-
σεως ὅτι τὰς Προίτου θυγατέρας κατὰ χόλον Ἥρας
10 ἐμμανεῖς γενομένας ἰάσατο, Πανύασις (fr. 19 EGF 15
Kinkel) δὲ διὰ τὸ νεκρὸν Τυνδάρεω ἀναστῆσαι, Στάφυ-
λος (269 F 3 FGrHist) δὲ ἐν τῷ περὶ Ἀρκάδων ὅτι
Ἱππόλυτον ἐθεράπευσε φεύγοντα ἐκ Τροιζῆνος κατὰ τὰς
παραδεδομένας κατ' αὐτοῦ ἐν τοῖς τραγῳδουμένοις φή-
μας, Φύλαρχος (81 F 18 FGrHist) δὲ ἐν τῇ ἐννάτῃ διὰ 262
15 τὸ τοὺς Φινέως υἱοὺς τυφλωθέντας ἀποκαταστῆσαι, χα- 21
ριζόμενον αὐτῶν τῇ μητρὶ Κλεοπάτρᾳ τῇ Ἐρεχθέως,
Τελέσαρχος (309 Fr. 2 FGrHist) δὲ ἐν τῷ Ἀργολικῷ
ὅτι τὸν Ὠρίωνα ἐπεβάλετο ἀναστῆσαι. οὐ τοίνυν τῆς
οὕτως ἀπὸ ψευδοῦς ὑποθέσεως ἀρχομένης καὶ ἀδιεξιτή- 25
20 του κατὰ πλῆθος καὶ πρὸς τὴν ἑκάστου προαίρεσιν
μεταπλαττομένης γένοιτ' ἂν τις τεχνικὴ θεωρία.

§ **260** *κεκεραυνῶσθαι* cf. Verg. Aen. VII 770sqq.

**3** *τε* LVrς: *πως* ED || **4** *τὰ ὄντα* ED || **6** utamur Herv.: *χρή-σωνται* G || **7** *γὰρ* om. Herv. || **10** *ἐν ᾧ* dub., an transp. post v. 8 *οἱ ἱστορ.* Bekk.: *εἰκῇ* pro *ἐν ᾧ* dub. Harder || **11** *εἰριφύλῃ* A: *τρι-φύλῃ* D || **12** Polyanthes Herv: *πολύαρχος* ci. Fabr. cl. schol. in Euripid. Alc. p. 217, 4 Schwartz || **14** *πρόστου* LVr || **15** *παννάσιος* ELVr Gen.: *παννάσις* D: *παρνάσιος* ς: Parrhasius Herv.: corr. Fabr. || **16** *διὰ* om. AB | *τὸν* A || **21** *χαριζόμενος* ς || **24** *καὶ ὅτι* ς | *ἐπεβάλλετο* EDLVr: *ἀπεβάλετο* C *ἐπεβάλετο* cett. Bekk. | *οὐ* om. Herv. interpunctione interrogativa usus

658

263 *Πρὸς τούτοις ἐπεὶ τῶν ἱστορουμένων τὸ μέν ἐστιν*
*ἱστορία τὸ δὲ μῦθος τὸ δὲ πλάσμα, ὧν ἡ μὲν ἱστορία*
*ἀληθῶν τινῶν ἐστι καὶ γεγονότων ἔκθεσις, ὡς ὅτι Ἀλέ-*
*ξανδρος ἐν Βαβυλῶνι δι' ἐπιβούλων φαρμακευθεὶς ἐτε-*
5 *λεύτα, πλάσμα δὲ πραγμάτων μὴ γενομένων μὲν ὁμοίως* 25
*δὲ τοῖς γενομένοις λεγομένων, ὡς αἱ κωμικαὶ ὑποθέσεις*
264 *καὶ οἱ μῖμοι, μῦθος δὲ πραγμάτων ἀγενήτων καὶ ψευ-*
*δῶν ἔκθεσις, ὡς ὅτι τὸ μὲν τῶν φαλαγγίων καὶ ὄφεων* |
*γένος Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος ἐξωγονῆσθαι,* 659
10 *τὸν δὲ Πήγασον λαιμοτομηθείσης τῆς Γοργόνος ἀπὸ τῆς*
*κεφαλῆς ἐκθορεῖν, καὶ οἱ μὲν Διομήδους ἑταῖροι εἰς*
*θαλασσίους μετέβαλον ὄρνις, ὁ δὲ Ὀδυσσεὺς εἰς ἵππον,*
265 *ἡ δὲ Ἑκάβη εἰς κύνα, — τοιαύτης δὲ οὔσης ⟨τῆς⟩ τῶν* 5
*ἱστοριῶν διαφορᾶς, ἐπεὶ οὐκ ἔστι τέχνη τις περὶ τὰ*
15 *ψευδῆ καὶ ἀνύπαρκτα, ψευδῆ δέ ἐστι καὶ ἀνύπαρκτα τὰ*
*περὶ τοὺς μύθους καὶ τὰ πλάσματα, περὶ ἃ μάλιστα τοῦ*
*ἱστορικοῦ μέρους ἡ γραμματικὴ καταγίνεται, οὐκ ἂν εἴη*
*τις τέχνη περὶ τὸ ἱστορικὸν μέρος ⟨τῆς⟩ γραμματικῆς.* 10
266 *ὅθεν καταγελᾶν ἄξιον τῶν λεγόντων ὅτι εἰ καὶ ἡ ὕλη*
20 *τῆς ἱστορίας ἐστὶν ἀμέθοδος, ἡ μέντοι κρίσις ταύτης*
*γενήσεται τεχνική, δι' ἧς γιγνώσκομεν τί τε ψευδῶς*
267 *ἱστόρηται καὶ τί ἀληθῶς. πρῶτον μὲν γὰρ οὐ παραδεδώ-*
*κασιν ἡμῖν οἱ γραμματικοὶ τῆς ἀληθοῦς ἱστορίας κριτή-* 15
*ριον, ἵνα καὶ ἐξετάζωμεν πότε ἀληθής ἐστιν αὕτη καὶ*
25 *πότε ψευδής. εἶτα καὶ μηδεμιᾶς οὔσης ἀληθοῦς ἱστορίας*
*παρὰ τοῖς γραμματικοῖς οὐδὲ τὸ τοῦ ἀληθοῦς κριτήριον*
*ὑποστατόν ἐστιν, ἐπεὶ πῶς οὐκ ἔργον, τινὸς μὲν λέγοντος*
*ὅτι Ὀδυσσεὺς ὑπὸ Τηλεγόνου παιδὸς κατὰ ἄγνοιαν ἀν-* 20

§ **263—267** = Cratetis Pergam. (Mallotae) Fr. 18 (Mette, Sphairopoiia, München 1936) || **264** *Τιτήνων* cf. Nicandri Theriaca v. 10 *ὄρνις* cf. Athenaeus IX 373d

**1** *ἐπὶ* L || **4** *ἐπιβουλῶν* Gen.: *ἐπιβουλιῶν* Fabr.: ex insidiis Herv. || **9** *ἐξωγονεῖσθαι* ED: *ἐξωγονῆσθαι* LVrB || **11** *ἐκπέσεῖν* [θορ] VCR: *ἐκθορσεῖν* AB || **12** *μετέβαλλον* G | *ὄρνεις* ED || **13** *εἰ* pro *ἡ* L | ⟨*τῆς*⟩ Mette || **18** ⟨*τῆς*⟩ Bekk. || **19** *λεγόντων* expunxit, *πραγμάτων* suppl. A | *ὕλη* ς: *ὅλη* LVrED || **21** *γινώσκ.* ς || **27** *περίεργον* Kayser

659
ἥρηται, τινὸς δὲ ὅτι λάρου κέντρον θαλασσίας τρυγόνος ἀφέντος αὐτοῦ τῇ κεφαλῇ διεφώνησεν, ἄλλου δὲ ὅτι εἰς ἵππον μετέβαλε τὴν μορφήν, θέλειν ἐν οὕτως ἀπερρωγόσι πράγμασιν εὑρεῖν τἀληθές; πρότερον γὰρ δεῖ 25 ὑποστῆναι ἐν τοῖς διαφωνοῦσι τὸν ἀληθεύοντα, καὶ τότε 5 ζητεῖν τί ἐστιν· πάντων δὲ ἀπίθανα καὶ ψευδῆ λεγόντων 268 οὐδὲ τεχνικῷ τινὶ κριτηρίῳ δίδοται πάροδος.

Καὶ μὴν οὐδὲ δι' ὧν ἂν ἱστορία καλῶς γραφείη διδάσκουσιν οἱ γραμματικοί, ἵνα κατ' ἀναφορὰν τὴν ὡς 30 ἐπὶ τὰ τοιαῦτα θεωρήματα λέγωμεν τεχνικόν τι μέρος 10 ὑπάρχειν παρ' αὐτοῖς τὸ ἱστορικόν· τοῦτο γὰρ ῥητορικῶν 660 ἐστι | τὸ ἔργον. ὥστ' ἐπεὶ καὶ αὐτοὶ ἐξομολογοῦνται ἀμέ- 269 θοδόν τι εἶναι παράπηγμα τὴν ἱστορίαν καὶ ἡμεῖς ἐπελογισάμεθα, καὶ ἄλλως οὐδὲν τεχνικὸν θεώρημα πρὸς τὴν γνῶσιν αὐτῆς ἢ σύστασιν παραδεδώκασι, ῥητέον καὶ 15 5 κατὰ τὸ ἱστορικὸν μέρος ἀσύστατον εἶναι τὴν γραμματικήν.

## Ὅτι τὸ περὶ τοὺς ποιητὰς καὶ συγγραφεῖς μέρος τῆς γραμματικῆς ἀσύστατόν ἐστιν

Ἤδη μὲν δυνάμει καὶ τὸ περὶ ποιητὰς καὶ συγγρα- 270 φεῖς μέρος τῆς γραμματικῆς ἡμῖν ἀνῄρηται, δείξασι τὸ ἀδύνατον τοῦ κατὰ τὰς τεχνολογίας καὶ τοῦ ἱστορικοῦ· 20 χωρὶς γὰρ τούτων οὐκ ἀπευθύνεταί τις ποιήσεως ἐξ- 10 ήγησις. ὅμως δ' οὖν καὶ τὰ ἐν τούτῳ τῷ μέρει πειρασόμεθα κοινότερον δυνάμενα λέγεσθαι σκοπεῖν, καὶ μάλιστα ὅτι οὕτως ἐπιτεθαρρήκασιν αὐτῷ οἱ γραμματικοὶ ὡς καὶ τὸ βιωφελὲς τῆς γραμματικῆς καὶ πρὸς εὐδαιμο- 25 νίαν ἀναγκαῖον ἐξ αὐτοῦ τολμᾶν πιστοῦσθαι. φασὶ γοῦν 15 ὡς ἡ ποιητικὴ πολλὰς δίδωσιν ἀφορμὰς πρὸς σοφίαν καὶ εὐδαίμονα βίον, ἄνευ δὲ τοῦ ἀπὸ γραμματικῆς φωτὸς οὐχ οἷόν τε τὰ παρὰ τοῖς ποιηταῖς διορᾶν ὁποῖά ποτέ

2 *διεφόνησεν* Gen.: eum occiderit Herv.: del. Kayser: '*διεφ.* i. q. *ἀπέθανεν*' Bekk. in indice | *ἄλλοι* G (ex *ἄλλου* corr. A) || 3 *ἀπερρωγόσι* in E mutilatum: *ἀπερρῶσι* D || 12 *ὥστε εἰ* G: corr. Usener kl. Schr. I 346 || 13 *πρᾶγμα* ci. Harder: trad. def. Theiler || 20 *τὸν κατὰ* AB | *τὸ ἱστορικὸν* G: corr. Bury

660

271 ἐστιν· χρειώδης ἄρα ἡ γραμματική. τὸ δ' ὅτι συχνὰς
δίδωσιν ἡ ποιητικὴ ἀφορμὰς πρὸς εὐδαιμονίαν δῆλον ἐκ
τοῦ τὴν ὄντως κρατίστην καὶ ἠθοποιὸν φιλοσοφίαν ἀπὸ 20
τῆς παρὰ τοῖς ποιηταῖς γνωμολογίας τὴν ἀρχὴν ἐρριζῶ-
5 σθαι, καὶ διὰ τοῦτο τοὺς φιλοσόφους, εἴ ποτε παραινε-
τικῶς τι λέγοιεν, ταῖς ποιητικαῖς φωναῖς ὡσπερεὶ σφρα-
γίζεσθαι τὸ ὑπ' αὐτῶν λεγόμενον. καὶ ὁ μὲν ἐπ' ἀρετὴν
παρακαλῶν φησὶν (Euripid. fr. 734 Nauck[2])

ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται· 25

10 ὁ δὲ φιλαργυρίαν φεύγειν ἐγκελευόμενος προφέρεται τὸ
(Eur. fr. 20 Nauck)

μὴ Πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο·

ὁ δὲ αὐτάρκειαν ὑπαγορεύων συμπιστοῦται τὸ δόγμα ἐκ
15 τοῦ τὸν Εὐριπίδην λέγειν (fr. 892 Nauck) | 30

τί γὰρ δέει βροτοῖσι πλὴν δυοῖν μόνον, 661
Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου,
ἃ δὴ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν;

272 καὶ τὸ μὲν τοὺς ἄλλους φιλοσόφους τοῦτο ποιεῖν οὐ παρά- 5
20 δοξον, αὐτοὺς δὲ εὑρήσομεν τοὺς τῆς γραμματικῆς κατ-
ηγόρους, Πύρρωνά τε καὶ Ἐπίκουρον, ἐξομολογουμένους
τὸ ἀναγκαῖον αὐτῆς· ὧν ὁ μὲν Πύρρων ἱστορεῖται τὴν
Ὁμηρικὴν διὰ παντὸς ποίησιν ἀναγινώσκων, μὴ ἄν ποτε
τοῦτο ποιήσας εἴπερ μὴ ἐγίνωσκεν αὐτὴν χρησίμην καὶ 10
273 διὰ τοῦτο τὴν γραμματικὴν ἀναγκαίαν, ὁ δὲ Ἐπίκουρος
26 (rat. sent. III) φωρᾶται τὰ κράτιστα τῶν δογμάτων παρὰ
ποιητῶν ἀνηρπακώς· τόν τε γὰρ ὅρον τοῦ μεγέθους τῶν
ἡδονῶν, ὅτι ἡ παντός ἐστι τοῦ ἀλγοῦντος ὑπεξαίρεσις,
ἐξ ἑνὸς στίχου δέδεικται λαβὼν ⟨τοῦ⟩ (A 469)

§ 273 θάνατον ... οὐδὲν ... πρ. ἡμᾶς cf. Diog. Laert. X 124, Lucr. III 830 sqq. etc. νεκρὰ ἀναισθητεῖν ibid.

2 δηλοῦσιν mavult Harder || 4 τοῖς om. A || 7 αὐτὸν L || 10 φυλάργυρος VC: φιλάργυρος ABR || 13 καὶ ὁ G | κάκιστον B || 16 ἐπεὶ τί δεῖ Nauck | δέοι ς | δυεῖν LD || 17 πόματος ς || 18 ἅπερ Nauck | πέφυκεν G | ὑμᾶς R || 24 ποιῆσαι ED || 28 ὑπεξαίρησις ED || 29 ⟨τοῦ⟩ dub. Bekk.

661
15 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο·
τὸν δὲ θάνατον, ὅτι οὐδέν ἐστι πρὸς ἡμᾶς, Ἐπίχαρμος αὐτῷ προμεμήνυκεν, εἰπὼν (fr. 247 CGF Kaibel. B 11 Diels-Vors.)

ἀποθανεῖν ἢ τεθνάναι οὔ μοι διαφέρει. 5

ὡσαύτως δὲ καὶ τὰ νεκρὰ τῶν σωμάτων ἀναισθητεῖν παρ'
20 Ὁμήρου κέκλοφε, γράφοντος (Ω 54)

κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.

καὶ μὴν οὐ ταῦτα μόνον τοῖς ποιηταῖς δεξιῶς εἰρῆσθαι 274
φαίνεται ἀλλὰ καὶ τὰ περὶ θεῶν, οἷόν ἐστι καὶ τὸ παρὰ 10
τῷ Εὐριπίδῃ λεχθὲν ἐν Φρίξῳ (fr. 235 Nauck)

25 ὅστις δὲ θνητῶν οἴεται καθ' ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
δοκεῖ πονηρά, καὶ δοκῶν ἁλίσκεται
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ δίκη. | 15

662 ἀλλ' εἴπερ ταῦτα καὶ τὰ τούτοις ἐοικότα χρειώδη ἐστί, λαμβάνεται δ' οὐ χωρὶς γραμματικῆς, ἔσται καὶ ἡ γραμματικὴ τῶν βιωφελῶν. ἔχοι δ' ἄν τινα, φασίν, ἐξαιρέτως 275
καὶ ταῖς τῶν μανθανόντων αὐτὴν πατρίσιν ἀναγκαῖα. Λε-
5 βεδίων γοῦν διαφερομένων πρὸς τοὺς ἀστυγείτονας περὶ 20
Καμανδωδοῦ ὁ [γραμματικὸς] τὸ Ἱππωνάκτειον παραθέμενος ἐνίκα (fr. 74 Diehl[3])

μηδέ μοι μῦ
λαλεῖν Λεβεδίην ἰσχάδ' ἐκ Καμανδωδοῦ.

10 ὁμιλητικούς τε παρεχομένη τοὺς προσέχοντας αὐτῇ εὐθὺς 25
καὶ ταύτῃ [καὶ] τοῖς πέλας κατὰ πολλὰς περιστάσεις ὀνησιφόρος γίνεται. πάρεστι δὲ τὸ λεγόμενον σκοπεῖν ἐξ 276
αὐτῶν τῶν ἀποτελεσμάτων. Σώστρατος γάρ, ὥς φασιν,

1 ἐδυτῆος A: ἐδητῦος B || 2 τόν τε Bekk. | pro Epicharmo infra p. 72, 24 Sophro || 3 προσμεμήνυκεν G || 8 γὰρ om. ς || 10 παρ' εὐριπίδῃ ED || 12 τοὐφήμερον infra p. 73, 20 et Nauck || 19 ἀναγκαῖον G: corr. Fabr. || 21 ante ὁ grammatici nomen excidisse susp. Harder: [ ] Theiler | ἱππονάκτιον ABV: ἱππωνάκτιον CR || 23 μηδέ τ' ἄν μοι Fabr. || 24 λαλεῖ ς: μοιμύλλειν Diehl | ἰσχάδα G | καμανδωλοῦ ς || 26 [ ] Bekk.

662
ἀποσταλεὶς ὑπὸ Πτολεμαίου πρὸς τὸν Ἀντίγονον βασιλι-
κῆς τινὸς ἕνεκα χρείας, κἀκείνου εἰκαιότερον ἀποκρινομέ- 15
νου, ἐπέτυχεν εἰπὼν (Hom. Ο 201)

οὕτω δὴ κέλεαι, γαιήοχε κυανοχαῖτα;
5 τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε;
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.

ταῦτα γὰρ ἀκούσας Ἀντίγονος μετεβάλλετο. 20
277 Πολλῶν δὴ τοιούτων λεγομένων εἰς τὸ χρησιμώτατον
εἶναι τὸ τῆς γραμματικῆς μέρος τὸ περὶ ποιητὰς καὶ συγ-
10 γραφεῖς καταγιγνόμενον, δείγματος χάριν τοῖς ἐκκειμένοις
ἀρκεσθέντες λέγωμεν πρὸς ἕκαστον αὐτῶν. τὸ τοίνυν βιω- 25
φελῆ εἶναι τὴν ποιητικὴν γνωμολογίαν καὶ φιλοσοφίας
ἀρχήν, ταύτης δὲ ἀποδοτικὴν ὑπάρχειν τὴν γραμματικήν,
278 ὄντως γραμματικόν ἐστιν. πρῶτον μὲν γάρ, ἵνα συνδρά-
15 μωμεν αὐτοῖς μηδὲν ποιητικῆς κατειπόντες, ἀλλ' οὖν γε
ἐκεῖνο πρόδηλόν ἐστιν ὅτι ὁπόσα μὲν βιωφελῆ καὶ ἀναγ-
καῖα εὑρίσκεται παρὰ ποιηταῖς, οἷά ἐστι τὰ γνωμικὰ καὶ | 30
παραινετικά, ταῦτα σαφῶς αὐτοῖς πέφρασται καὶ οὐ δεῖ- 663
ται γραμματικῆς, ⟨ὁπόσα δὲ μὴ σαφῶς πέφρασται καὶ
20 δεῖται γραμματικῆς⟩ καθάπερ τὰ ἐν ξέναις ἱστορίαις κεί-
μενα ἢ αἰνιγματωδῶς ἐκφερόμενα, ταῦτ' ἐστιν ἄχρηστα,
ὥστε καὶ τῇ ἀπ' ἐκείνων ὠφελείᾳ μὴ συνεισέρχεσθαι αὐ-
τῶν τὸ χρειῶδες τῆς γραμματικῆς καὶ τῇ τούτων ματαιό- 5
279 τητι συμπεριφέρεσθαι. εἶτα φάσις μόνον ἐστὶν ἡ γνώμη,
25 καθάπερ τὸ τοιοῦτο (Eurip. fr. 200 Nauck),

σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν·

φάσει δὲ οὐ πείθεται ὁ νοῦς περὶ τοῦ καλῶς εἰρῆσθαι ἢ 10
μὴ [εἰρῆσθαι], ἀλλ' ἀποδείξεων δεῖται. αἱ δὲ ἀποδείξεις
30 τῶν καθηκόντως λεγομένων ἢ μὴ οὐ γραμματικῆς εἰσιν

**2** ἀποκρινουμένου LVrD ‖ **7** μετεβάλετο (λ supra lin.) R: μεταβάλλετο C: μετεβάλετο Bekk. ‖ **11** λέγομεν BD | βιωφελεῖ L: βιωφελῆ cett. ‖ **15** καταλειπόντες A ‖ **15.16** ἐκεῖνο γε dub. Bekk. ‖ **19** ⟨ὁπόσα – 20 γραμματικῆς⟩ add. Kayser: ⟨ὁπόσα δὲ δεῖται γραμματικῆς⟩ Bury: ⟨ὁπόσα δὲ⟩ Shorey ‖ **22** συνεισέρχεται Gen. | αὐτῶν del. Theiler ‖ **24** φάσιν Vr ‖ **27** δὲ G ‖ **29** [ ] Bekk.

663
ἀλλὰ φιλοσοφίας· τοίνυν καὶ ταύτῃ περισσὴν καὶ ματαίαν συμβέβηκεν εἶναι τὴν γραμματικήν. καὶ μὴν εἴπερ
15 διὰ τὸ πολλὰ καλῶς εἰρῆσθαι τοῖς ποιηταῖς καὶ βιωφελῶς χρησίμη ἐστὶν ἡ προφῆτις γραμματικὴ αὐτῶν, ἐπεὶ πολλαπλασίονα τούτων διαστρόφως καὶ ἐπὶ λύμῃ τοῦ βίου 5
παρ' αὐτοῖς ἐξενήνεκται, ἄχρηστος γενήσεται. καθὰ γὰρ ἔστι τις ὁ εἰπὼν (Eurip. fr. 20 Nauck)

20 μὴ Πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο,

οὕτως ἔστι καὶ ὁ τοὐναντίον ἀποφαινόμενος (id. fr. 324 10
Nauck)·

ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει,
25 οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ,
οἵας σὺ χοἱ σὲ δώμασιν κεκτημένοι. 15

καὶ πάλιν

εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδὲν ἤν τις δυστυχῇ.

καὶ (adesp. fr. 464 Nauck)

30 κάλλιστα μουσῶν φθέγγεται πλουτῶν ἀνήρ. |

664 ἀναποδείκτως μὲν οὖν λεγομένων τῶν οὕτως ἐναντίων 280
ἐπιρρεπέστερον ἔχουσιν ἄνθρωποι πρὸς τὴν τοῦ χείρονος 21
ἐκλογήν, καὶ διὰ τοῦτο βλαπτικὴ ἀναφαίνεται ἡ ποιητική· διακρινομένων δὲ αὐτῶν, καὶ τῶν μὲν ἀθετουμένων τῶν
5 δὲ προκρινομένων, χρειώδης γίνεται οὐχ ἡ γραμματικὴ ἀλλ' ἡ διακρίνειν δυναμένη φιλοσοφία. ποιητικοῖς τε μαρ- 25
τυρίοις χρῶνται οὐχ οἱ γνησίως φιλοσοφοῦντες (τούτων γὰρ ὁ λόγος αὐτάρκης ἐστὶ πρὸς πειθώ) ἀλλ' οἱ τὸν πολὺν καὶ ἀγοραῖον φενακίζοντες ὄχλον· οὐ γὰρ δυσχερὲς 281
10 ποιητὰς μαχομένους καὶ εἰς ὅ τι ἂν θέλωσιν ᾄδοντας δεῖξαι, ὅτε καὶ οἱ προηγουμένως φιλοσοφοῦντες πολλὰ 30

4 προφήτης L | πολλωπλασίονα C || 5 διαστρόφων C || 8 cf. p. 68, 12 || 9 καὶ οἱ κάκιστοι ῥαδίως ἐκτήσαντο A || 10 οὔτ ἐστὶ καὶ ὁ V (sic): οὔτ' ἐστι καὶ οὐ C || 12 χρυσίον ED || 13 τοιάσδ' ἔχει Nauck (TGF) || 14 φίλως AB || 15 καὶ οἱ G | δώμασι G || 21 χείρωνος L || 22 ἐκλογεῖν B

μαχομένως λέγουσιν. τῶν δὲ γραμματικῆς κατηγόρων ὁ μὲν Πύρρων παρ' ἕκαστα τὴν Ὁμηρικὴν διετύλισσε ποίησιν οὐ πάντως διὰ τὴν εἰρημένην αἰτίαν, ἀλλὰ τάχα μὲν 15 ψυχαγωγίας χάριν καὶ ὡς εἰ κωμῳδῶν ἠκροᾶτο, τάχα δὲ 5 καὶ τοὺς ποιητικοὺς παρατηρῶν τρόπους καὶ χαρακτῆρας·
282 λέγεται γὰρ αὐτὸν καὶ ποίησιν εἰς τὸν Μακεδόνα Ἀλέξανδρον γράψαντα μυρίοις χρυσοῖς τετιμῆσθαι. οὐκ ἀπέοικε δὲ καὶ ἄλλας αἰτίας ὑπάρχειν, περὶ ὧν ἐν τοῖς
283 Πυρρωνείοις (in PH frustra quaeritur) διεξήλθομεν. ὁ 20 10 δὲ Ἐπίκουρος οὐκ ἐκ τῶν Ὁμηρικῶν εἴληφε τὸν ὅρον τοῦ μεγέθους τῶν ἡδονῶν (rat. sent. III)· μακρῷ γὰρ διαφέρει τὸ λέγειν ὅτι ἐπαύσαντό τινες πίνοντες καὶ ἐσθίοντες καὶ τὴν αὐτῶν ἐπιθυμίαν πληροῦντες (τοῦτο γάρ ἐστι τὸ

15 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο) 25

τοῦ φάναι ὅρον εἶναι τῶν περὶ τὰς ἡδονὰς μεγεθῶν τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν· τοῦτο γὰρ οὐ πάντως κρέασι
284 καὶ οἴνῳ ἀλλὰ καὶ τοῖς λιτοτάτοις πέφυκε γίνεσθαι. ἄλλως τε ὁ μὲν ποιητὴς ἐπὶ προσφερομένων μόνων ἐποιή- 20 σατο τὴν ἀπόφασιν, Ἐπίκουρος δὲ ἐπὶ πάντων τῶν ἀπο- 30 λαυστῶν, ἐν οἷς ἐστι καὶ ἡ ἀφροδίσιος μῖξις, περὶ ἧς πάντες ἴσασιν οἵαν ἔσχε γνώμην Ὅμηρος. τό τε τὸν θάνατον [μὲν] | μηδὲν εἶναι πρὸς ἡμᾶς εἴρηται μὲν ἴσως τῷ 665 Σώφρονι (Epicharm. fr. 247 CGF Kaibel), ἀποδέδει- 25 κται δὲ Ἐπικούρῳ, καὶ ἔστιν οὐ τὸ εἰπεῖν ἀλλὰ τὸ ἀπο-
285 δεῖξαι θαυμαστόν. εἶτα οὐδὲ κατὰ τοῦτο ἔφησεν ὁ Ἐπίκουρος τὸν θάνατον μηδὲν εἶναι πρὸς ἡμᾶς, καθὸ ἀδιά- 5 φορόν ἐστιν ἢ ζῆν ἢ μή· πολλῷ γὰρ αἱρετώτερον τὸ ζῆν

§ **282** ποίησιν ... γράψ. v. Zeller[5] III 1, 499 adn. 1. cf. Plut. mor. 331 E || Πυρρωνείοις Haas (Progr. Berlin 1874, 5) haec ad Pyrrhonis vitam, quae a Sexto scripta postea interiit, pertinere putat.

**1** μαχομένων VC || **4** ὡς ἡ LVr || **6** λέγεται ὁ πύρρων ποίησιν εἰς τὸν μακεδόνα ἀλέξανδρον γράψαι schol. L || **13** αὐτῶν G || **19** τε om. VC || **21** μίξις G || **23** μὲν del. Bekk. || **24** ab Epicharmo Herv. cf. p. 69, 2 || **25** οὐ τῶ εἰπεῖν VC

665 διὰ τὸ αἰσθανομένων εἶναι τὸ ἀγαθόν· ἀλλ' ἐν ἀναισθησίᾳ οὔτε κακόν τι εἶναι οὔτε ἀγαθόν. τὸ μὲν γὰρ ἀναισθητεῖν τὰ νεκρὰ τῶν σωμάτων οὐχ ὁ ποιητὴς μόνος
10 οἶδεν ἀλλὰ καὶ ὁ σύμπας βίος. μήτηρ γοῦν πολλάκις υἱὸν θρηνοῦσα φησὶν 'ἀλλὰ σὺ μὲν τούτων οὐκ ἐπαισθάνῃ, 5 ἐγὼ δὲ ταλαιπωρῶ'· καὶ ἐνατενίζουσα ἐπιφθέγγεται 'τίς δέ ἐστιν ἔτι σοι τούτων ὄνησις;' οὐ μὴν ἀλλ' ἐὰν ἐξ- 286 ετάζῃ τις, τὴν ἐναντίαν ἔχοντα δόξαν εὑρήσει τὸν ποιητήν. αἱ μὲν γὰρ ψυχαὶ κοινῶς διψῶσιν αἵματος (Hom. λ 95) 10

15 (ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξὺ
αἵματος, ὄφρα πίω καί τοι νημερτέα εἴπω),

ὁ δὲ Τιτυὸς ὑπὸ γυπῶν διὰ τὴν ἐπιθυμίαν ἡπατοφαγεῖται, ὁ δὲ Τάνταλος ἕστηκεν ἐν λίμνῃ, (Hom. λ 583)

ἡ δὲ προσέκλυζε γενείῳ· 15
20 στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι.

καὶ μὴν ὅσον ἐπὶ τῷ ὑπ' Εὐριπίδου λεχθέντι περὶ θεῶν, 287 τὴν αὐτὴν καὶ οἱ ἰδιῶται δόξαν ἔχουσιν. ἴσον γάρ ἐστι τῷ (Eurip. fr. 835 Nauck)

ὅστις δὲ θνητῶν οἴεται τοὐφήμερον 20
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
25 δοκεῖ πονηρά, καὶ δοκῶν ἁλίσκεται
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ δίκη

καὶ τὸ οὕτω παρὰ τοῖς πολλοῖς λεγομενον·

ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά· 25

μόνῳ δὲ διενήνοχε τῷ μέτρῳ. ἂν δὲ καὶ ἐξετάσῃ τις, 288
30 πολλῷ χείρονα τῆς τῶν ἰδιωτῶν ὑπολήψεως εὑρήσει τὰ |
666 τῶν ποιητῶν. καὶ ὁ μὲν σκηνικὸς ἀναγορευθεὶς φιλόσοφος ἔτι μετριώτερος φαίνεται, λέγων μὴ εἰδέναι ᾧ προσεύχεται (Eurip. Troad. 884) 30

§ 287 ὀψὲ — λεπτά cf. Plutarch. mor. 549 D

7 ἔτι σοι om. ED || 13 ὑπὸ γυπῶν om. ς || 14 ἔσταλκεν D || 17 ἐπὶ om. ED || 18 αὐτὴν om. C || 20 καθ' ἡμέραν p. 69, 12 || 22 δοκεῖ τις ἀνὴρ καὶ G: corr. Bekk. cl. p. 69, 14 || 25 μῦλοι VB || 26 ἐξετάσει LVr

ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις ποτ' εἶ σύ, δυστόπαστος εἰσιδεῖν, 5
Ζεύς, εἴτ' ἀνάγκη φύσεος εἴτε νοῦς βροτῶν,
προσευξάμην σέ.

289 Ὅμηρος δὲ καὶ Ἡσίοδος κατὰ τὸν Κολοφώνιον Ξενο-
6 φάνη (B 12 Diels)

ὡς πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν. 10

Κρόνος μὲν γάρ, ἐφ' οὗ τὸν εὐδαίμονα βίον γεγονέναι
10 λέγουσι, τὸν πατέρα ἠνδροτόμησε καὶ τὰ τέκνα κατέπιεν,
Ζεύς τε ὁ τούτου παῖς ἀφελόμενος αὐτὸν τῆς ἡγεμονίας
(Hom. Ξ 204)

γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης,
τῆλε μάλ' ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον. 15

290 τῷ δὲ Διὶ ἐπιβουλεύουσιν οἱ συγγενεῖς, παρὸ καὶ ὑπὸ
15 Θέτιδος βοηθεῖται, (Hom. A 399)

ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·

ὠμότατος γάρ ἐστι, καὶ τὴν μὲν ἀδελφὴν καὶ γυναῖκα 20
20 ἱεροσύλου τρόπον κρεμάσας οὐκ ἀρκεῖται, ἀλλὰ καὶ ὀνει-
δίζει λέγων (Hom. O 18)

ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄρρηκτον, σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν 25
25 ἐκρέμω, ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον;

291 τὸν δὲ Ἥφαιστον ὀργισθεὶς ῥίπτει ἀπὸ τοῦ οὐρανοῦ, ὁ δὲ
(A 593)

κάππεσεν ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.

τὸν δὲ ἀδελφὸν ὑπερορᾷ (ι 531 et Y 65) | 30

**1** καὶ ἐπὶ G || **3** φύσεως G || **7** ὅς πλεῖστα ἐφθέγξατο G: corr. Fabr. || **8** ἀλλήλοις ς || **14** τῇ μαλ' VC || **18** ποσειδῶν G | ποσειδὼν καὶ μὲν Gen. Fabr. || **22** ὅτ' ἐκρέμω AB: ὅτε τε κρέμω Hom. edd. | ποδοῖν ς || **23** ἴηνα B

οἰκί' ἔχοντα
σμερδαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

πρόσεστι δὲ αὐτῷ πρὸς τῇ ἀποτομίᾳ καὶ ἀκρασία, ὃς θεαϑάμενος τὴν Ἥραν ἐπὶ τῆς Ἴδης κεκοσμημένην οὐ καρτερεῖ μέχρις τῶν ἀποδεδειγμένων αὐτοῖς θαλάμων 5 ἐλθεῖν, ἀλλ' ἐπὶ τοῦ ὄρους χαμαὶ ῥίψας ἑαυτὸν συγκυλίνδεται τῇ γυναικί, (Ξ 347) 5

τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον.

ποικίλης οὖν πεφωραμένης τῆς ποιήσεως ἀνωφελὴς ἡ 292 10 γραμματικὴ μὴ δυναμένη ἀποδεῖξαι τίσι πιστευτέον ἐστὶν 11 ὡς ἀληθέσι καὶ τίσιν ἀπιστητέον ὡς μυθικοῖς ψεύσμασιν.

Ἀλλὰ πόλει φασὶ χρησίμην εἶναι τὴν γραμματικήν, 293 ἐπεὶ καὶ Λεβεδίοις νίκης αἴτιον ἐγένετο ἐκ ποιητικῆς μαρ- 15 τύριον. ἕνεκα δὲ τούτου καὶ τὴν ὀρχηστικὴν ἀναγκαίαν 15 λέγομεν εἶναι, ἐπεὶ Σώστρατος ὁ Ἀντιόχου ὀρχηστής, λαβόντος ὑποχείριον τὴν Πριήνην τοῦ βασιλέως πατρίδα οὖσαν αὐτοῦ, καὶ παρὰ τὸ συμπόσιον τὴν ἐλευθερίαν ἀναγκαζόμενος ὀρχεῖσθαι, οὐ καλὸν ἔφη τῆς πατρίδος αὐ- 20 τοῦ δουλευούσης αὐτὸν ἐλευθερίαν ὀρχεῖσθαι· καὶ διὰ 20 τοῦτο ἐλευθερωθῆναι τὴν πόλιν. εἶτα ἄλλο μέν ἐστι τό 294 πόλει χρήσιμον, ἄλλο δὲ τὸ ἡμῖν αὐτοῖς. σκυτοτομικὴ γοῦν καὶ χαλκευτικὴ πόλει μέν ἐστιν ἀναγκαῖον, ἡμῖν δὲ χαλκεῦσι γενέσθαι καὶ σκυτοτόμοις πρὸς εὐδαιμονίαν οὐκ 25 ἀναγκαῖον. διόπερ καὶ ἡ γραμματικὴ οὐκ ἐπεὶ πόλει χρη- 25 σίμη καθέστηκεν, ἐξ ἀνάγκης καὶ ἡμῖν ἐστιν [ἡ] τοιαύτη. ἡ μὲν γὰρ ὁμιλητικὴ οὐκ ἀπὸ γραμματικῆς περιγίνεσθαι πέφυκεν, ἀλλ' ἀπὸ κοινῆς τινος ἐντρεχείας, εἰ μή τι καὶ 295 Δημάδης ὁ ῥήτωρ γραμματικὸς ἦν, πολλοῖς τῶν Ἀθη- 30

§ 293 *Σώστρατος* cf. Libanii orat. pro saltatorib. in fine || 295 *Δημάδης*, eadem de Xenocrate narrat Diog. Laert. IV 9, similia de Demade Diodorus XVI 87, 2

2 *σμερδαλέα* G || 5 *μέχρι* ς || 12 *λέγουσιν* pro *τίσιν*, in marg. *τοῖσιν* L || 14 *πόλεῖ* V | *χρησαίμην* L || 17 *λέγωμεν* B || 25 *οὐκ* om. C || 27 [ ] Bekk. || 29 *μήτε καὶ* A B || 30 *ἦν* dub. Bekk. Bury: *ὢν* G

*667*

*ναίων μετὰ τὴν ἐν Χαιρωνείᾳ ἧτταν συναιχμαλωτισθεὶς καὶ εἰπὼν πρὸς τὸν Φίλιππον ἀναγκάζοντα εὐωχεῖσθαι* *30*
(Hom. *κ* 383) |

*τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,* *668*
5 *πρὶν τλαίη πάσασθαι ἐδητύος ἠδὲ ποτῆτος,*
*πρὶν λῦσαί θ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;*

296 *Ταῦτα μὲν οὖν πρὸς τὰς τῶν γραμματικῶν ἐπιχειρήσεις λεγέσθω· προηγουμένως δὲ ῥητέον ὡς εἰ μὲν μόνοι ἦσαν οἱ ποιηταὶ βιωφελεῖς, τάχα ἂν ἡ γραμματικὴ βιω-* *5*
10 *φελὴς ἐγίνετο περὶ τούτους πονουμένη, νῦν δὲ ἐπεὶ οὗτοι μὲν ἢ ἀνωφελεῖς εἰσιν ἢ ὀλιγωφελεῖς, φιλόσοφοι δὲ καὶ οἱ λοιποὶ συγγραφεῖς διδάσκουσι τὰ ὠφέλιμα τῶν πραγ-* *10*
297 *μάτων, οὐ δεόμεθα γραμματικῆς. καὶ ὅτι οἱ συγγραφεῖς μᾶλλον ἢ οἱ ποιηταὶ τὰ χρήσιμα τῷ βίῳ δηλοῦσιν, εὐεπι-*
15 *λόγιστον. οἱ μὲν γὰρ τοῦ ἀληθοῦς στοχάζονται, οἱ δὲ ἐκ παντὸς ψυχαγωγεῖν ἐθέλουσιν, ψυχαγωγεῖ δὲ μᾶλλον τὸ ψεῦδος ἢ τἀληθές. τοίνυν ἐκείνοις ⟨μᾶλλον⟩ ἢ τούτοις*
298 *προσεκτέον τοῖς ἐπίτηδες τὸ ψεῦδος μεταδιώκουσιν. καθ-* *15* *όλου τε, ὅσον ἐπὶ τοῖς ποιηταῖς, οὐχ οἷον ἀνωφελὴς τῷ*
20 *βίῳ ἀλλὰ καὶ βλαβερωτάτη. ἐπιτείχισμα γὰρ ἀνθρωπίνων παθῶν ἡ ποιητικὴ καθέστηκεν· καὶ ὡς* (TGF fr. adesp. 364 Nauck)

*γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει,*

*οὕτως οἱ μὲν ἐρωτομανεῖς καὶ μέθυσοι τὰς Ἀλκαίου καὶ* *20*
25 *Ἀνακρέοντος ποιήσεις ἀναγνόντες προσεκκαίονται, οἱ δὲ ὀργίλοι Ἱππώνακτα καὶ Ἀρχίλοχον ἀλείπτας ἔχουσι τῆς περὶ αὐτοὺς κακίας.*

299 *Τὰ μὲν οὖν ὑπὸ τῶν ἄλλων λεγόμενα κατὰ τὸν τόπον,* *25*
*καὶ μάλιστα τῶν Ἐπικουρείων, ἐστὶ τοιαῦτα· ἡμεῖς δὲ*

§ **299** *Ἐπικουρείων* cf. e. g. Philodemi de mus. IV col. 28 p. 97K.

**4** *ὃς* delin. in L: om. Vr ¦ *αἰνέσιμος* G ‖ **5** ~~πρὶν~~[δ δ] sic L: *ὃς* Vr | *ἐδητῦος* VB: *ἐδυτῆος* A ‖ **14** *ἢ* om. C ‖ **17** *⟨μᾶλλον⟩ ἢ* scripsi: *ἢ* ED: *ἢ ὅτι* LVrς: *⟨μᾶλλον⟩ ἢ ὅτι* dub. Bekk. ‖ **19.20** *τῷ βίῳ ⟨ἡ γραμματική⟩* dub. Bekk. Bury ‖ **23** *γέροντι* om. B ‖ **25** *προσεκκαίοντο* VC ‖ **26** *ἱππόνακτα* ED ‖ **27** *αὑτοὺς* Mette

668 *μηδὲν κατειπόντες τῆς ποιητικῆς ἄλλως ποιώμεθα τὰς ἀντιρρήσεις πρὸς τοὺς ἀξιοῦντας γραμματικὴν ἔχειν τέχνην τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσι λεγομένων διαγνωστικήν. ἐπεὶ τοίνυν πᾶν σύγγραμμα καὶ πᾶσα ποίησις* 300
30 *ἐκ λέξεων τῶν δηλουσῶν καὶ πραγμάτων τῶν δηλουμένων συνέστηκε, δεήσει τὸν γραμματικόν, εἴπερ ἔχει τέ-* 5
669 *χνην | διαρθρωτικὴν τῶν παρὰ συγγραφεῦσι καὶ ποιηταῖς λεγομένων, ἤτοι τὰς λέξεις μόνον ἢ τὰ ὑποκείμενα πράγματα γινώσκειν ἢ τὸ συναμφότερον. ἀλλὰ τὰ μὲν πράγματα, κἂν ἡμεῖς μὴ λέγωμεν, φαίνεται μὴ γινώσκειν.* 10
5 *τούτων γὰρ τὰ μέν ἐστι φυσικὰ τὰ δὲ μαθηματικὰ τὰ δὲ ἰατρικὰ τὰ δὲ μουσικά, καὶ δεῖ τὸν μὲν φυσικοῖς ἐπιβάλλοντα πράγμασιν εὐθὺς φυσικὸν εἶναι καὶ τὸν μουσικοῖς μουσικὸν εἶναι καὶ τὸν μαθηματικοῖς εὐθὺς εἶναι μαθηματικόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὁ μέντοι γραμμα-* 15
10 *τικὸς ⟨ὅτι⟩ οὐκ ἔστιν ἐν τῷ αὐτῷ πάνσοφος καὶ πάσης ἐπιστήμης δαήμων, σὺν τῷ καὶ αὐτόθεν προσπίπτειν, ἔτι κἀκ τῶν ἀποτελεσμάτων ἐλέγχεται. ποῦ γάρ τις δύ-* 301 *ναται τῶν ὠφρυωμένων γραμματικῶν Ἡράκλειτον συνεῖναι καὶ Πλάτωνι παρακολουθῆσαι λέγοντι* (Plat. Tim. 20
15 35 A) *'τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς περὶ τὰ σώματα μεριστῆς τρίτον ἐξ ἀμφοῖν συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως καὶ τῆς θατέρου' καὶ ἤδη τὰ ἑξῆς, — περὶ τὴν λέξιν πάντες οἱ Πλάτωνος ἐξηγηταὶ ἐσίγησαν — ἢ ποῦ τοῖς* 25
20 *Χρυσίππου διαλεκτικοῖς θεωρήμασιν ἢ Ἀρχιμήδους τε καὶ Εὐδόξου μαθηματικοῖς ἐπιβάλλειν ἰσχύσει; καὶ μὴν ὡς ἐν* 302 *τούτοις ἐστὶ τυφλός, οὕτω κἂν τοῖς περὶ αὐτῶν γραφεῖσι ποιήμασιν, οἷον Ἐμπεδοκλέους λέγοντος* (B 112, 4–5 D.)

30

**6** *τὴν γραμματικὴν* ς || **13** *φυσικὸν — μουσικοῖς* om. ς | *καὶ* — 14 *εἶναι* om. EDLVr || **16** *ὅτι* add. Bekk. || **17** *προπίπτειν* G: corr. Bekk. || **19** *ὠφελιωμένων* D || **22** *αἰτίας καὶ* in marg. add. signo posito post 21 *ἐχούσης* B | *τῆς αὖ περὶ τὰ σώματα γινομένης* Plat. codd. | *ἀσώματα* A || **23** *ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο* Plat. codd. | *φύσεως αὖ περὶ καὶ* Plat. codd. || **24** *λέξιν, ἃ πάντες* Fabr. Bekk. sec. Herv.: sic interpunxi: *περὶ* — 25 *ἐσίγ.* del. Harder:, *περὶ* [τ]*ὴν λ. . . . ἐμόγησαν,* Theiler

669

*χαίρετ', ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητός,*
*πωλεῦμαι μετὰ πᾶσι τετιμένος,*

*καὶ πάλιν* (B 113 Diels) 25

*ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὡσεὶ μέγα χρῆμά τι πράσσων*
5 *εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;*

*ὁ μὲν γὰρ γραμματικὸς καὶ ὁ ἰδιώτης ὑπολήψονται κατ' ἀλαζονείαν καὶ τὴν πρὸς τοὺς ἄλλους ἀνθρώπους ὑπερο|ψίαν ταῦτ' ἀνεφθέγχθαι τὸν φιλόσοφον, ὅπερ ἀλλότριόν* 670 *ἐστι τοῦ κἂν μετρίαν ἕξιν ἐν φιλοσοφίᾳ ἔχοντος, οὐχ ὅτι* **303** *γε τοῦ τοσούτου ἀνδρός· ὁ δὲ ἀπὸ φυσικῆς ὁρμώμενος* 11 *θεωρίας, σαφῶς γινώσκων ὅτι ἀρχαῖον ὅλως τὸ δόγμα ἐστί, τοῖς ὁμοίοις τὰ ὅμοια γιγνώσκεσθαι, ὅπερ ἀπὸ Πυ-* 5 *θαγόρου δοκοῦν κατεληλυθέναι κεῖται μὲν καὶ παρὰ Πλάτωνι ἐν τῷ Τιμαίῳ* (35 A et 45 B), *εἴρηται δὲ πολὺ πρό-* 15 *τερον ὑπ' αὐτοῦ Ἐμπεδοκλέους* (B 109 Diels)

*γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,*
*ἠέρι δ' ἠέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον,* 10
*στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ,*

*συνήσει ὅτι ὁ Ἐμπεδοκλῆς θεὸν ἑαυτὸν προσηγόρευσεν,* 20 *ἐπεὶ μόνος καθαρὸν ἀπὸ κακίας τηρήσας τὸν νοῦν καὶ ἀνεπιθόλωτον τῷ ἐν ἑαυτῷ θεῷ τὸν ἐκτὸς θεὸν κατεί-* **304** *ληφεν. Ἀράτου τε μὴν γράφοντος* (phaen. 541) 15

*ὅσσον ἀπ' ὀφθαλμοῖο βολῆς ἀπολάμπεται αὐγή,*
*ἑξάκις ἂν τόσση μιν ὑποδράμοι· αὐτὰρ ἑκάστη*
25 *ἴση μετρηθεῖσα δύω περιτέλλεται ἄστρα*

*οὐ γραμματικοῦ τοῦτο νοῆσαι, ὅτι ἡλίκη ἐστὶν ἡ ἀπὸ τῆς ἡμῶν ὄψεως πρὸς τὴν ἀνατολὴν ἐκβαλλομένη εὐθεῖα, ἑξά-* 20 *κις αὕτη ληφθεῖσα τὸν ζῳδιακὸν καταμετρήσει κύκλον*

**§ 303** ~ M VII 92 | cf. Aristot. de anima 404 b 11 sqq., 427 b 28

**2** *τὰ πᾶσι τετιμημένοις* C | *τετιμημένος* ABVR || **5** *πολυφθορέων* ς || **6** *γὰρ* om. C || **10** *τὸ τοσούτου* VC || **12** *γινώσκεσθαι* ς | *ἀπὸ τοῦ πυθ.* VC || **13** *καταλεληλυθέναι* V: *καταλεληθέναι* C || **17** *ἠέρα δ' ἠέρα* BVCR: *αἰθέρι δ' αἰθέρα* Aristot. | *αὐτὰρ* A || **21** *αὐτῶ* EDLVr | *θεὸν* om. ς edd. || **23** *ἀποτέμνεται αὐγῇ* Arati codd. || **24** *τόσσ' ἡμῖν* G Gen.: *τόσσ' ἄμμιν* Fabr. || **26** *γραμματικὸν* G

670
ὥστε δύο αὐτὴν ἀποτέμνεσθαι ζῴδια, ἀλλὰ μαθηματικοῦ, γραμμικῶς αὐτὸ ἀποδεικνύντος, ὅτι τὸ ἕκτον τοῦ ζωδιακοῦ κύκλου μέρος ἀπὸ τῆς μέχρι τῆς ἀνατολῆς ἐκβαλλο-
25 μένης εὐθείας καθέστηκεν. Τίμωνός τε τοῦ Φλιασίου 305 τὸν Πύρρωνα ἡλίῳ ἀπεικάζοντος ἐν οἷς φησι (B 67, 5 5 Diels PPF)

μοῦνος δ' ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύεις,
ὃς περὶ πᾶσαν ἑλῶν γαῖαν ἀναστρέφεται,
δεικνὺς εὐτόρνου σφαίρας πυρικαύτορα κύκλον,

30 δόξει μὲν τοῖς γραμματικοῖς κατὰ τιμὴν αὐτὸ λέγειν καὶ | 10
671 διὰ τὴν περὶ τὸν φιλόσοφον ἐπιφάνειαν· ἄλλος δὲ ἐπιστήσει μήποτε καὶ μάχεται [τὰ παραδείγματα] τῷ σκεπτικῷ βουλήματι τὰ ὑπὸ τοῦ Φλιασίου εἰς τὸν Πύρρωνα λεχθέντα, εἴγε ὁ μὲν ἥλιος τὰ πρότερον μὴ βλεπόμενα
5 τῷ φωτὶ καταυγάζων δείκνυσιν, ὁ δὲ Πύρρων καὶ τὰ προ- 15 δήλως ἡμῖν ληφθέντα τῶν πραγμάτων εἰς ἀδηλότητα περισπᾶν βιάζεται. τὸ δὲ οὐχ οὕτως ἔχειν φαίνεται τῷ φιλο- 306 σοφώτερον ἐπιβάλλοντι, ἀλλ' ἡλίου τρόπον ἐπέχειν φησὶ
10 τὸν Πύρρωνα καθόσον ⟨ὡς⟩ ὁ θεὸς τὰς τῶν ἀκριβῶς εἰς αὐτὸν ἀτενιζόντων ὄψεις ἀμαυροῖ, οὕτω καὶ ὁ σκεπτικὸς 20 λόγος τὸ τῆς διανοίας ὄμμα τῶν ἐπιμελέστερον αὐτῷ προσεχόντων συγχεῖ, ὥστε ἀκαταληπτεῖν περὶ ἑκάστου τῶν κατὰ δογματικὴν θρασύτητα τιθεμένων. εἰ δὲ δεῖ 307 περὶ ἰατρικῆς διεξέρχεσθαι θεωρίας, καὶ παριστᾶν ὡς καὶ
15 ἐπίθετον πολλάκις προσριφὲν ὑπὸ ποιητοῦ βαθὺν ἐμφαίνει 25 καὶ ἐπιστημονικὸν νοῦν, οἷόν ἐστι τὸ 'βαθύσχοινον λεχεποίην' παρ' Ὁμήρῳ (Δ 383). σημαίνει γάρ, ὃ μὴ δύναται νοῆσαι γραμματικός, ⟨ὅτι⟩ παραστατικὸν πρὸς συνουσίαν ἐστὶ τὸ τῆς σχοίνου σπέρμα, λέχος καλοῦντος τοῦ ποιητοῦ

**1** δύω LED || **2** γραμματικῶς Vr || **7** δὲ G || **8** ἑλῶν dub. Bekk. Diels Bury: ἑλὼν G || **9** σφαίρης Diels || **12** [..] Heintz || **16** περισπᾶν scripsi: περιστᾶν EDLVr: περιστᾶναι VC: περιιστᾶναι B: περιιστάναι A edd. Theiler || **18** φασι G: dicit Herv.: corr. Bekk. || **19** ὡς add. Bekk. sec. Herv. || **24** παριστᾶν ⟨ἐστιν⟩ ὡς Bury sec. Herv. || **26** βαθύσκοιον A || **28** νοῆσαι om. LVr (in marg. suppl. L) | ⟨⟩ Bekk. | πρὸς οὐσίαν LED

308 *τὴν μῖξιν. ἢ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐπὶ τῇ Λυκομήδους* 20
*θυγατρὶ Δηιδαμείᾳ λεγόμενον* (fr. 682 Nauck)

*ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει*
*πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;*
5 *μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;*

*πυνθάνεται γὰρ μή τι πλευριτικὴ γέγονε διὰ τὸ τοὺς* 25
*πλευριτικοὺς βήσσοντας ὑπόχολον ἀνάγειν. ὧν οὐδὲν οἶδεν*
*ὁ γραμματικός.*

309 *Καίτοι περιττὸν ἴσως ἐστὶν ἀπὸ τῶν ἀρχαιοτέρων καὶ*
10 *τάχα ἐπιστημονικῶν δυσωπεῖν τοὺς ἀπὸ τῆς γραμματι-* 30
*κῆς, ὅτε καὶ τὸ τυχὸν ἐπιγραμμάτιον οὐχ οἷοί τέ εἰσι* |
*νοῆσαι, καθάπερ καὶ τὸ ὑπὸ τοῦ Καλλιμάχου εἰς Διόδω-* 672
*ρον τὸν Κρόνον συγγραφέν* (fr. 393, 3 Pfeiffer)

*ἠνίδε κου κόρακες τεγέων ἔπι 'κοῖα συνῆπται'*
15 *κρώζουσιν καὶ 'κῶς αὖθι γενησόμεθα'.*

310 *ὅτι γὰρ διαλεκτικώτατος ἦν ὁ Κρόνος καὶ ἐδίδασκε πῶς* 5
*κριτέον ἐστὶ τὸ ὑγιὲς συνημμένον, ὥστε διὰ τὸ ἐπικρα-*
*τεῖν ἤδη τὴν διδασκαλίαν καὶ τοὺς ἐπὶ τῶν δωμάτων κό-*
*ρακας ἐκ πολλῆς τῆς κατηχήσεως κράζειν τὴν κατ' αὐτὸν*
20 *τοῦ συνημμένου κρίσιν, εἴποι ἂν ὁ γραμματικός, καὶ μέχρι*
311 *τούτου συνήσει τὸ καὶ παιδίοις γνώριμον· ἐλθὼν δὲ καὶ* 10
*ἐπὶ τὸ 'καὶ κῶς αὖθι γενησόμεθα' ἡσυχάσει, μὴ εὑρί-*
*σκων τὸ δηλούμενον πρᾶγμα. φιλοσόφου γὰρ ἦν εἰπεῖν*
*ὅτι ἀρέσκει τῷ Διοδώρῳ μηδὲν κινεῖσθαι. τὸ γὰρ κινού-*
25 *μενον ἤτοι ἐν ᾧ ἔστι τόπῳ κινεῖται ἢ ἐν ᾧ μὴ ἔστιν·*
*οὔτε δὲ τὸ πρῶτον οὔτε τὸ δεύτερον· οὐκ ἄρα κινεῖταί* 15
*τι. τῷ δὲ μηδὲν κινεῖσθαι τὸ μηδὲν φθείρεσθαι ἀκολου-*
312 *θεῖ. ὡς γὰρ διὰ τὸ μήτε ἐν ᾧ ἔστι τόπῳ κινεῖσθαί τι*

**§ 310** *πῶς — συνημμένον* cf. PH II 110, M VIII 112sqq., Cic. Lucull. 47, 143

**1** *τῷ* om. ED ‖ **4** *παμονὴ* E: *πειπονὴ* D | *δαμνάζεται* A ‖ **5** *χολῇ* Bury ‖ **7** *οὐ δὲ* A ‖ **9** *περισσὸν* ED ‖ **10** *τὰς* VC ‖ **14** *κοῦ* Herv.: *καὶ* Fabr. Schneider Cahier: *κοὶ* Pfeiffer (Wilam.) ‖ **15** *κρώζουσι* G | *κακῶς* prima syllaba delineata L | *αὖθις* G ‖ **16** *διαλεκτικὸς* A ‖ **18** *κόρακες* L alt. man. superscr. ‖ **19** *ἐκ* om. DV | *αὐτὴν* LVr ‖ **22** *αὖθις* ς Vr

*μήτε ἐν ᾧ μή ἐστιν οὐδὲν κινεῖται, οὕτως ἐπεὶ τὸ ζῷον
οὔτε ἐν ᾧ ζῇ χρόνῳ ἀποθνήσκει οὔτε ἐν ᾧ μὴ ζῇ, οὐδέ-*
20 *ποτε ἄρα ἀποθνήσκει. εἰ δὲ τοῦτο, ἀεὶ ζῶντες κατ' αὐτὸν
καὶ αὖθις γενησόμεθα.*

*Οὐκοῦν τὰ μὲν πράγματα οὐ νοοῦσιν οἱ γραμματικοί.* 313
*λείπεται τοίνυν τὰ ὀνόματα νοεῖν αὐτούς. ὃ πάλιν ἐστὶ* 6
25 *ληρῶδες. πρῶτον μὲν γὰρ οὐδὲν ἔχουσι τεχνικὸν εἰς τὸ
λέξιν γινώσκειν. οὐδὲ γὰρ ἐκ τέχνης τινὸς μεμαθήκασιν
ὅτι οἱ παρὰ τῷ Σοφοκλεῖ* (fr. 472 Nauck) *ποιμένες 'ἰὼ
βαλλήν' λέγοντες 'ἰὼ βασιλεῦ' λέγουσι φρυγιστί, ἀλλὰ παρ'* 10
*ἄλλων ἀκούσαντες. διήνεγκε δὲ οὐδὲν ἢ βαρβάρου λέξεως
ἑρμηνευτὰς γίνεσθαι ἢ τῆς κατὰ γλῶσσαν προενεχθείσης,*
30 *ὁμοίως οὔσης ἀσυνήθους ἡμῖν. εἶτα καὶ τοῦτ' ἀδύνατόν* 314
*ἐστιν ἀπείρων οὐσῶν λέξεων καὶ ἄλλως παρ' ἄλλοις ὀνο-
ματοποιηθεισῶν ἢ ἐπὶ πράγμασιν οἷς ἡμεῖς οὐκ ἴσμεν* 15
673 *τε|θεισῶν. οἷόν ἐστι τὸ ⟨'ἐβαρβάριζε τὸ ὅλον, ἕλκη ἔχον
ἐν τῇ χειρί', τοῦ μὲν⟩ ἐβαρβάριζεν ἀντὶ τοῦ ἐσύριζε κει-
μένου, βάρβαροι γὰρ οἱ Σύροι, τοῦ δὲ ὅλον ἀντὶ τοῦ
παντός, ὅλον γὰρ καὶ πᾶν συνώνυμον, τοῦ δὲ ἕλκους ἀντὶ
τῆς σύριγγος, εἶδος γὰρ ἕλκους ἡ σύριγξ· ὥστε τὸ ὅλον* 20
5 *γίνεσθαι τοιοῦτον 'ἐσύριζεν ὁ Πάν, σύριγγας ἔχων ἐν τῇ
χειρί'. ἄλλως τε καὶ ποῦ ἴσασιν ἐνίας τῶν ἐπιστημονικῶν* 315
*λέξεων οἱ γραμματικοί, καθάπερ τὴν παρὰ Ἀριστοτέλει
ἐντελέχειαν ἢ τὸ τί ἦν εἶναι; ἢ ποῦ συνήσουσι τίνα δύ-
ναμιν ἔχει παρὰ σκεπτικοῖς ἡ 'οὐδὲν μᾶλλον' φωνή, πό-* 25
10 *τερον πυσματική ἐστιν ἢ ἀξιωματική, καὶ ἐπὶ τίνος τάσ-
σεται, ἆρά γε τοῦ ἐκτὸς ὑποκειμένου ἢ τοῦ περὶ ἡμᾶς
πάθους; τί δὲ καὶ ἐροῦσιν ἐκ λέξεών τινων συντεθέντος* 316
*τινὸς ποιήματος·*

§ **315** *οὐδὲν μᾶλλον* PH I 188

**5** *πράγματα ἐννοοῦσιν* AB || **6** *ἢ πάλιν* V || **7** *ἔχει* G: habent Herv. || **8** *οὐδὲ* dub. Bekk.: *οὔτε* G | post *μεμαθήκασιν* al. man. in marg. add. *οἱ τοιοῦτοι* B || **10** *βασιλεῦ* V: *βασιλεὺς* C || **12** *γενέσθαι* E: *γένέσθαι* L || **16.17** *ἐβαρβάριζε — μὲν* add. Fabr. || **18** *σύριοι* C || **24** *συνοίσουσι* AB || **27** *κειμένου* A || **28** *καὶ* om. C

ἢ γάρ σοι δισσοῖσιν ὑπ' οὔρεσι διττὸς ἐραστὴς
 ἔφθιτο καὶ νεάτην μοῖραν ἔθηκε φύσιν. 15
ἄρθρῳ ἐν ἀσπιδόεντι βεβηκότα γυῖα καθ' ὁλμοῦ
 βᾶσα τροχαντήρων ἄχρι περιστρέφεται
5 σμερδαλέα δ' ὑπένερθεν ἀλώπεκος ἄχρι δοχαίης
 αἰῶνος χαλαρὰν σύνδρομον ἁρμονίης.

317 τοὺς γὰρ ἐραστὰς οἵτινές εἰσι καὶ τὰ ὄρη καὶ τὸ ἀσπιδόεν 20
ἄρθρον καὶ τοὺς τροχαντῆρας, ἔτι δὲ καὶ τὸν ὅλμον καὶ
τὰς ἀλώπεκας δοχαίην τε καὶ αἰῶνα καὶ ἁρμονίαν, μήτε
10 τροπικῶς μήτε κατὰ ἱστορίαν ἀλλὰ κυρίως ἐξενεχθέντα
ὀνόματα, κἂν μυριάκις ἐπιστήσωσιν, οὐ συνήσουσιν.

318 Εἰ οὖν μήτε τὰ πράγματα μήτε τὰς λέξεις ἴσασιν, 25
παρὰ δὲ ταῦτα οὐδέν ἐστιν ἡ ποίησις ἢ τὸ σύγγραμμα,
οὐκ ἂν ἔχοιεν τέχνην ἐξηγητικὴν τῶν παρὰ ποιηταῖς καὶ
15 συγγραφεῦσι λεγομένων. ἄλλως τε καὶ εἰ χρῄζομεν γραμ-
ματικῆς, ἐπὶ τῶν ἀρίστων ποιημάτων χρῄζομεν ἀλλ' οὐ |
τῶν μοχθηρῶν. ἄριστον δὲ ποίημά ἐστι κατ' αὐτοὺς τὸ 674
319 σαφές· ἀρετὴ γὰρ ποιήματος ἡ σαφήνεια, καὶ μοχθηρὸν
τὸ ἀσαφὲς παρὰ γραμματικῇ. οὔτε οὖν ἐπὶ ἀρίστου ἐστὶ
20 ποιήματος χρειώδης διὰ τὸ μὴ δεῖσθαι ἐξηγήσεως σαφὲς
ὄν, οὔτε ἐπὶ τοῦ μοχθηροῦ διὰ τὸ αὐτόθεν εἶναι μοχθη- 5
320 ρόν. τό τε ἀνεπικρίτως διαφωνούμενον ἀκατάληπτόν ἐστιν,
ἀνεπικρίτως δ' ἔτι διαφωνοῦσιν ἐν ταῖς ἐξηγήσεσιν οἱ
γραμματικοὶ περὶ τῆς τοῦ συγγραφέως διανοίας· ἀκατά-
25 ληπτος ἄρα ἐστὶν ἡ τοῦ συγγραφέως διάνοια, καὶ διὰ
τοῦτο ἄχρηστος ἡ γραμματική. 10

Ἀλλὰ γὰρ πρὸς μὲν τοὺς ἀπὸ τούτου τοῦ μαθήματος
ἀναγομένους ἐπὶ τοσοῦτον εἰρήσθω· ἀπ' ἄλλης δὲ ἀρχῆς
σκεψώμεθα καὶ πρὸς τοὺς ῥήτορας ἃ δεῖ λέγειν.

**1—6** textum tantum mss. praebeo. corrigere conatur Bury, qui 1 *δισσὸς* (Hermann) 2 *μοῖρ' ἀνέθηκε* (Fabr.) 3 *ὅλμου* (Gen.) 4 *βλαισὰ* (ipse, *βαιὰ* Hermann) 5 *σμερδαλέαι . . . ἀλώπεκες* (Hermann) 6 *χαλαρᾷ σύνδραμον ἁρμονίῃ* (Hermann) scripsit. bene Theiler, v. praef.[2] || **7** *κατὰ ὄρη* G || **8** *τρυχαντῆρας* L | *ὁλμὸν* G || **9** *ἀλώπηκας* ED: *ἀλώπηκας* (ε supra η) L || **10.11** *ὀνόματα ἐξενεχθέντα* VC || **11** *ἐπιστήσουσιν* ED || **15** *τῆς γραμμ.* A || **17** *γὰρ* pro *δὲ* A || **22** *τὸ δὲ* G: corr. Bekk. || **23** *δέ τι* G || **28** *ἀναγόμεθα ε(σ?) τοσοῦτον* VC || **29** *τοὺς* om. A

## ΠΡΟΣ ΡΗΤΟΡΑΣ

674
15 Τοῖς περὶ γραμματικῆς διεξοδευθεῖσιν ἡμῖν ἀκόλουθον ἂν εἴη καὶ περὶ ῥητορικῆς λέγειν, ἀνδρικωτέρας ἤδη καθεστώσης καὶ τὸ πλέον ἐπ' ἀγορᾶς καὶ βημάτων ἐξεταζομένης. ἀλλ' ἐπεὶ κοινὸν ὑπάρξεώς τε καὶ ἀνυπαρξίας ἐστὶν 20 ἡ ἔννοια, καὶ οὐδὲν τούτων ἕτερον οἷόν τέ ἐστι ζητεῖν 5 μὴ προλαβόντας ὅ ἐστι τὸ ζητούμενον, φέρε πρῶτον σκεψώμεθα τί ἂν εἴη ῥητορική, τὰς ἐπιφανεστάτας εἰς τοῦτο τῶν φιλοσόφων ἀποδόσεις παρατιθέμενοι.

Πλάτων μὲν οὖν ἐν τῷ Γοργίᾳ κατὰ διοριστικὴν ἔφο- 2 δον τοιοῦτον ἔοικεν ἐξ ἐπισυνθέσεως ὅρον τῆς ῥητορικῆς 10 25 ἀποδιδόναι 'ῥητορική ἐστι πειθοῦς δημιουργὸς διὰ λόγων, ἐν αὐτοῖς τοῖς λόγοις τὸ κῦρος ἔχουσα, πειστική, οὐ διδασκαλική', τὸ μὲν 'διὰ λόγων' προστιθεὶς τάχα παρόσον πολλά ἐστι τὰ πειθὼ τοῖς ἀνθρώποις ἐνεργαζόμενα χωρὶς λόγου, καθάπερ πλοῦτος καὶ δόξα καὶ ἡδονὴ καὶ κάλλος. 15 30 οἱ γοῦν παρὰ τῷ ποιητῇ δημογέροντες, καίπερ ἐκπεπο- 3 λεμωμένοι καὶ τελέως ἀπηλλοτριωμένοι πρὸς τὴν Ἑλένην | 675 ὡς κακῶν αἰτίαν γενομένην αὐτοῖς, ὅμως ὑπὸ τοῦ περὶ αὐτὴν κάλλους πείθονται, καὶ προσιούσης τοιαῦτά τινα πρὸς ἀλλήλους διεξίασιν (Γ 156) 20

οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
5 τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.

Φρύνη τε, ὥς φασιν, ἐπεὶ συνηγοροῦντος αὐτῇ Ὑπερίδου 4 ἔμελλε καταδικάζεσθαι, καταρρηξαμένη τοὺς χιτωνίσκους

§ 2 Πλάτων cf. Gorg. 451 D, 454 A, 454 E sq. cf. Radermacher in: Philodemi vol. rhet. ed. Sudhaus, Lips. 1895, XXI || 4 Φρύνη cf. Quintil. inst. or. II 15, 9 aliosque locos multos

σέξτου ἐμπειρικοῦ περὶ γραμματικῆς· περὶ ῥητορικῆς tit. G || 8 ἀποδώσεις L || 12 τοῖς αὐτοῖς λόγοις A || 14 ἐργαζόμενα ABV | χειριζόμενα καὶ ἐργ. mg. B || 18 αἰτίοις CV

675

καὶ γυμνοῖς στήθεσι προκυλινδουμένη τῶν δικαστῶν
πλεῖον ἴσχυσε διὰ τὸ κάλλος τοὺς δικαστὰς πεῖσαι τῆς
τοῦ συνηγοροῦντος ῥητορείας. τὸ δὲ αὐτὸ καὶ ἐπὶ χρημά- 10
των ἐστὶν ἡδονῆς τε καὶ δόξης· τούτων γὰρ ἕκαστον εὑρή-
5 σομεν οὕτω πεῖθον ὡς πολλάκις τινὰ τῶν καθηκόντων
ὑπερβαίνειν. οὐ τοίνυν ἀσκόπως ὁ Πλάτων ἀποβλέπων εἰς
τὴν δι' αὐτῶν γινομένην πειθὼ ἔλεξεν ὅτι ῥητορική ἐστι
5 πειθοῦς δημιουργὸς οὐχ ὁπωσοῦν ἀλλὰ διὰ λόγων. καὶ 15
μὴν οὐκ ἐπεὶ λόγοις πείθει, πάντως ἐστὶ ῥητορική (καὶ
10 γὰρ ἡ ἰατρικὴ καὶ αἱ ὁμοειδεῖς ταύτῃ τέχναι διὰ λόγου
πείθουσιν), ἀλλ' εἴ τις ἐν αὐτοῖς προηγουμένως τοῖς λό-
γοις ὑποκειμένην ἔχει τὴν ἰσχύν· καὶ οὐ κοινῶς, ἐπείπερ
καὶ ἡ γεωμετρία καὶ ἀριθμητικὴ καὶ πᾶσα ἡ τῷ γένει 20
θεωρητικὴ τέχνη ἐν λόγοις προηγουμένως ἔχει τὸ κῦρος,
15 ἀλλ' ὅταν σὺν τούτοις μὴ διδασκαλικήν, ὥσπερ γεωμετρία,
ἀλλὰ πειστικὴν ποιῆται τὴν πειθώ· ὅπερ ἦν ἴδιον ῥητο-
ρικῆς.

6 Ξενοκράτης (fr. 13 Heinze) δὲ ὁ Πλάτωνος ἀκουστὴς
καὶ οἱ ἀπὸ τῆς Στοᾶς φιλόσοφοι (fr. II 294 Arn.) ἔλε- 25
20 γον ῥητορικὴν ὑπάρχειν ἐπιστήμην τοῦ εὖ λέγειν, ἄλλως
μὲν Ξενοκράτους τὴν ἐπιστήμην λαμβάνοντος καὶ ἀρχαϊ-
κῷ νόμῳ, ἀντὶ τῆς τέχνης, ἄλλως δὲ τῶν Στωικῶν, ἀντὶ
τοῦ βεβαίας ἔχειν καταλήψεις, ἐν σοφῷ μόνῳ φυομέ ην.
τὸ δὲ λέγειν ἀμφότεροι παραλαμβάνουσιν ὡς διαφέρον 30
25 τοῦ διαλέγεσθαι, ἐπειδήπερ τὸ μὲν ἐν συντομίᾳ κείμενον
κἂν τῷ λαμβάνειν καὶ διδόναι λόγον διαλεκτικῆς ἐστιν
7 ἔργον, τὸ δὲ λέγειν ἐν μήκει καὶ διεξόδῳ | θεωρούμενον 676
ῥητορικῆς ἐτύγχανεν ἴδιον. ἔνθεν γοῦν καὶ Ζήνων ὁ Κι-
τιεὺς (Stoic. fr. I 75) ἐρωτηθεὶς ὅτῳ διαφέρει διαλεκτικὴ
30 ῥητορικῆς, συστρέψας τὴν χεῖρα καὶ πάλιν ἐξαπλώσας

**2** *τοῖς δικασταῖς* ς || **4** *γὰρ* om. B || **5** *⟨πολλοὺς⟩ πολλάκις* dub. Bekk. || **9** *εἴ τις* pro *ἐπεὶ* dub. Bekk. || **10** *λόγων* dub. Bekk. || **11** *ἥτις* dub. Bekk. || **12** *καὶ* ante *οὐ* om. C || **13** alt. *ἡ* om. ς || **16** *ποιεῖται* ED || **28** *ἐτύγχανον* L | *κιττιεὺς* EDL | *ὅτι ζήνων ὁ κιττιεὺς διὰ τῆς συστροφῆς τῆς χειρὸς καὶ τῆς ἐξαπλώσεως διαφέρειν τῆς ῥητορικῆς τὴν διαλεκτικὴν ἠνίξατο* tit. EDL: *σῆ τὸ ζήνωνος τοῦ κιττιέος παράδειγμα* in marg. ς

676
ἔφη 'τούτῳ', κατὰ μὲν τὴν συστροφὴν τὸ στρογγύλον καὶ
5 βραχὺ τῆς διαλεκτικῆς τάττων ἰδίωμα, διὰ δὲ τῆς ἐξ-
απλώσεως καὶ ἐκτάσεως τῶν δακτύλων τὸ πλατὺ τῆς
ῥητορικῆς δυνάμεως αἰνιττόμενος.

Ἀριστοτέλης δὲ ἐν τῷ πρώτῳ τῶν Ῥητορικῶν τεχνῶν 8
(1354 a 12) ἁπλούστερον παραδίδωσι τὴν ῥητορικὴν τέχνην 6
10 λόγων. καὶ ζητουμένου πρὸς αὐτὸν ὅτι καὶ ἡ ἰατρικὴ
τέχνη ἐστὶ λόγων ἰατρικῶν, ἀπολογούμενοί τινές φασιν
ὅτι ἡ ἰατρικὴ τοὺς λόγους ἐφ' ἕτερόν τι ἀναφέρει τέλος,
καθάπερ τὴν ὑγείαν, ἡ δὲ ῥητορικὴ ἄντικρύς ἐστι λόγων 10
τέχνη. καὶ ἄλλους δὲ ἐκτίθεται ὁ ἀνὴρ οὗτος ὅρους, περὶ 9
15 ὧν οὐκ ἀναγκαῖόν ἐστιν ἡμῖν λέγειν τοῖς μὴ προηγουμέ-
νως τὸν περὶ ῥητορικῆς διεξοδεύουσι λόγον, ἀλλ' ὅσον
τοῦ τὴν ἰδιότητα ταύτης περινοῆσαι πρὸς τὴν χειρισθη-
σομένην ἡμῖν ἀντίρρησιν. ἧς ἀρχὴ γένοιτ' ἂν εὐθέως ἀπὸ 15
τῆς ἐκκειμένης νοήσεως. ἐπεὶ γὰρ τέχνην ἢ ἐπιστήμην
20 λόγων ἢ τοῦ λέγειν καὶ πειθοῦς περιποιητικὴν βούλονται
τυγχάνειν τὴν ῥητορικὴν οἱ τὴν ἔννοιαν αὐτῆς ἀποδιδόν-
τες, πειρασόμεθα καὶ ἡμεῖς τῶν τριῶν τούτων ἐχόμενοι
διδάσκειν τὸ ἀνυπόστατον αὐτῆς. 20

Πᾶσα τοίνυν τέχνη (Stoic. fr. I 73 Arn.) σύστημά 10
25 ἐστιν ἐκ καταλήψεων συγγεγυμνασμένων καὶ ἐπὶ τέλος
εὔχρηστον τῶν ἐν τῷ βίῳ λαμβανουσῶν τὴν ἀναφοράν· ἡ
δὲ ῥητορικὴ οὐκ ἔστι σύστημα ἐκ καταλήψεων, ὡς παρα-
στήσομεν· οὐκ ἄρα ⟨τέχνη⟩ ἐστιν ἡ ῥητορική. τῶν γὰρ 11
ψευδῶν οὐκ εἰσι καταλήψεις, ψευδῆ δέ ἐστι τὰ λεγόμενα τῆς 26
30 ῥητορικῆς εἶναι θεωρήματα, τοιαῦτα ὄντα 'οὕτω παραπει-
στέον τοὺς δικαστὰς' καὶ 'ὀργὴν κινητέον ἢ ἔλεον' καὶ 'μοι-
χῷ συνηγορητέον καὶ ἱεροσύλῳ'· ⟨ἃ⟩ ἐμφαίνει τὸ καθήκειν

§ **10** cf. Radermacher loc. cit. X et cf. PH III 188

**6** *τέχνην* om. AB || **7** *λέγων* ED, idem in *λόγων* corr. A || **9** *ἀτρικὴ* ED || **21** *ἐπιχείρημα* tit. ς || **22** et **24** *ἐγκαταλήψεων* A || **22** *ἐγγεγυμνασμένων* ED | *τέλους* LVr || **23** *τῶν ἐν* om. LVrς | *λαμβανουσῶν* Herv.: *-όντων* G || **25** addidi || **27** *εἶναι* om. Gen. Herv. || **29** *ἢ ἱεροσύλω* LVr | ⟨*ἃ*⟩ Harder: ⟨*οἳ*⟩ Bury | *ἐμφαίνειν* VC: *ἐμφαίνοντα* [*τὸ*] dub. Bekk.

*οὕτω τοὺς δικαστὰς παραπείθειν | καὶ ὀργὴν ἢ ἔλεον κι-* 677
*νεῖν· ἅπερ οὔκ ἐστιν ἀληθῆ, καὶ διὰ τοῦτο ἀκατάληπτα.*
*οὐ τοίνυν αὐτῶν εἰσιν αἱ καταλήψεις· ᾧ συνεισέρχεται τὸ*
12 *μηδὲ τὴν ῥητορικὴν ὑπάρχειν. καθάπερ οὖν οὐκ ἂν εἴποι-*
5 *μεν τὴν τοιχωρυχικὴν εἶναί τινα τέχνην παραινοῦσαν τὸ* 5
*οὕτω δεῖν τοῖχον διορύττειν, καὶ τὴν κλεπτικὴν τὸ οὕτω*
*καθήκειν κλέπτειν καὶ βαλαντιοτομεῖν, (ψευδῆ γάρ ἐστι*
*ταῦτα, καὶ οὔτε καθήκοντα οὔτε θεωρήματα), οὕτως*
*οὐδὲ τὴν ῥητορικὴν ὑποληπτέον ἔχειν τεχνικὴν ὑπόστασιν,*
10 *ἐπὶ τοιούτοις παραγγέλμασι σαλεύουσαν. ἀμέλει γέ τοι* 10
*καὶ οἱ περὶ Κριτόλαον τὸν Περιπατητικόν, καὶ πολὺ πρό-*
*τερον οἱ περὶ Πλάτωνα, εἰς τοῦτο ἀπιδόντες ἐκάκισαν*
*αὐτὴν ὡς κακοτεχνίαν μᾶλλον ἢ τέχνην καθεστηκυῖαν.*
13 *καὶ μὴν ἐπεὶ πᾶσα τέχνη ἤτοι ἑστηκὸς ἔχει τὸ τέλος καὶ*
15 *πάγιον, ὡς φιλοσοφία καὶ γραμματική, ἢ τοῦ ὡς τὸ πολὺ* 15
*ἐχόμενον, καθάπερ ἰατρική τε καὶ κυβερνητική, δεήσει*
*καὶ τὴν ῥητορικήν, εἴπερ ἐστὶ τέχνη, τὸ ἕτερον τούτων ἐπ-*
14 *αγγέλλεσθαι. οὔτε δὲ ἑστηκὸς ἔχει παν⟨τελῶς τὸ⟩ τέλος*
*(οὐδὲ γὰρ ἀεὶ περιγίνεται [περὶ] τῆς τῶν ἀντιδίκων νίκης,*
20 *ἀλλ' ἔσθ' ὅτε ἕτερον μὲν προτίθεται ὁ ῥήτωρ ἕτερον δὲ* 20
15 *ἐξακολουθοῦν ἔχει τέλος) οὔτε τοῦ ὡς τὸ πολὺ ἐφιέμε-*
*νον, ἐπεὶ πᾶς ῥήτωρ ἑαυτῷ συγκρινόμενος πολλάκις ἐλεί-*
*φθη μᾶλλον ἢ ἐνίκησεν, ἅτε διὰ παντὸς ἑτέρου τὰς ἐπι-*
*χειρήσεις αὐτοῦ διαλύοντος· οὐκ ἄρα τέχνη ἐστὶν ἡ ῥη-*
16 *τορική. εἴπερ τε ἐνδέχεται γενέσθαι ῥήτορα μὴ μετα-* 25
26 *σχόντα τῆς ῥητορικῆς τέχνης, οὐκ ἂν εἴη τις τέχνη ῥη-*
*τορική. ἐνδέχεται δέ γε ἱκανῶς καὶ κατὰ τρόπον ῥητο-*
*ρεύειν μὴ μετασχόντα ῥητορικῆς, ὡς καὶ περὶ Δημάδου*
*παρειλήφαμεν· κωπηλάτης γὰρ ὢν ὁμολογεῖται ἄριστος*
*γεγονέναι ῥήτωρ, καὶ σὺν τούτῳ ἄλλοι παμπληθεῖς. τοίνυν* 30

§ **12** *οἱ περὶ Κριτόλαον ... κακοτεχνίαν* cf. Quintilian. inst. or. II 15, 2sqq. || **13** et **13** cf. Radermacher l. c. XIsq.

**3** [*αἱ*] Harder || **5** *τοιχωρικὴν* BVR: *χωρικὴν* C: *τοιχωρυτικὴν* A || **6** *δεῖ* et **7** *καθήκει* ς Bekk. || **9** *οὔτε* G || **12** *ἀνιδόντες* G: corr. Bekk. cl. p. 96, 23 || **18** ⟨ ⟩ Bury || **19** [ ] Bekk. || **21** *ἐξακολουθῶν* L || **22** *εἰλήφθη* Fabr. Gen. || **29** *καὶ πηλάτος* ED || **30** *ῥήτωρ γεγονέναι* VC

677
οὐκ ἔστι τέχνη ἡ ῥητορική. ἄλλως τε καὶ [ἐπεὶ] τούτοις 17
678 ἀπιστοῦμεν ὡς τοιούτοις γεγο|νόσι καὶ ἐν ἕξει κἀκ τοιαύτης τινὸς τριβῆς ἐπὶ τὸ ῥητορεύειν παρεληλυθόσιν, ἀλλ' οὖν γε ἐν τῷ καθ' ἡμᾶς βίῳ πολλοὺς πάρεστιν ὁρᾶν λέγοντας μὲν εὐφυῶς ἐπὶ δικαστηρίων καὶ ἐν ἐκκλησίαις, 5
5 τὰ δὲ τεχνικὰ τῆς ῥητορικῆς παραγγέλματα μὴ γινώσκοντας. καὶ ἀντιστρόφως, εἰ οἱ ἐξηκριβωκότες [ἐπὶ 18 πλεῖον] καὶ ἐπὶ πλεῖον ἐκπονήσαντες τὸν τεχνικὸν τῆς ῥητορικῆς λόγον ἀδυνατοῦσι ῥητορεύειν ἐπὶ δικαστηρίων καὶ ἀγορᾶς, οὐ ῥητέον τεχνικὴν μέθοδον εἶναι τὴν ῥητο- 10
10 ρικήν. ἀλλὰ μὴν ὡς ὁ σύμπας οἶδε βίος, οἱ σοφιστεύοντες ἐπ' ἄκρον μὲν τὴν ῥητορικὴν ἐξήσκησαν τεχνολογίαν, ἰχθύων δὲ ἀφωνότεροι ἐπὶ τῆς [γῆς] ὑπαίθρου θεωροῦνται. τοίνυν οὐ κατὰ τέχνην εἰσί τινες ῥήτορες. ὅθεν καὶ γελᾶν 19 ἔστιν ἐπ' αὐτούς, ὅταν πρὸς τοῦτον ἀπολογούμενοι τὸν 15
15 ἔλεγχον φάσκωσιν ὅτι, ὥσπερ αἱ ἀκόναι τέμνειν μὲν οὐ πεφύκασιν, ὀξύνουσαι δὲ τὴν μάχαιραν τέμνειν παρασκευάζουσιν, οὕτω καὶ αὐτοὶ ἀδυνατοῦσι μὲν εἰπεῖν ὑπὸ τῆς ἀηθείας, ἄλλους δὲ διὰ τέχνης προάγοντες λέγειν ποιοῦσιν. οὐκ ᾔδεσαν γὰρ οἱ θαυμάσιοι τὴν ἀνομοιότητα ταύτης 20
20 τῆς εἰκόνος, εἴ γε ἡ μὲν ἀκόνη οὐχ ἣν εἶχε δύναμιν, ταύτην τῷ σιδήρῳ ἐμποιεῖν πέφυκεν, αὐτοὶ δὲ ἐπαγγέλλονται ὡς προηγούμενον ἔργον, ἣν ἔχουσι τέχνην, ταύτην τῷ πέλας περιποιήσειν.

Οἱ δὲ περὶ τὸν Κριτόλαον καὶ οἱ ἀπὸ τῆς Ἀκαδημίας, 20 ἐν οἷς ἐστι Κλειτόμαχος καὶ Χαρμίδας, εἰώθασι καὶ οὗ- 26
25 τοι τοιαῦτά τινα λέγειν, ὅτι τὰς μὲν τέχνας οὐκ ἐκβάλλουσιν αἱ πόλεις, πάνυ τι βιωφελεῖς οὔσας ἐπιστάμεναι, ὡς οὐδὲ τοὺς μὲν οἰκονομικοὺς τῶν οἴκων ἐκβάλλομεν τοὺς δὲ βουκόλους ἐκ τῆς ἀγέλης, τὴν μέντοι ῥητορικὴν 30 πάντες πανταχόθεν ὡς πολεμιωτάτην ἐδίωξαν, ὥσπερ

§ **20** cf. Radermacher l. c. XIII

**1** ἐπεὶ G: εἰ Harder: delevi || **2** καὶ τοιαύτης G: corr. Bekk. || **6** δὲ om. AB || **7.8** [..] Bekk. sec. Herv. || **11** μὴν ὡς G: μὴν καὶ Gen.: μὴν καὶ ὡς Fabr. || **13** γῆς del. Lobeck ad Phrynich. 252 || **15** ἔστιν om. ς || **19** ἀληθείας G: ἀσυνηθείας Gen. Fabr.: corr. Bekk. || **26** χαρμίδης E || **28** ἐπιστάμενοι G || **29** μὲν om. ς

ὁ μὲν Κρητικὸς νομοθέτης εἴρξας ἐπιβαίνειν τῆς νήσου 30
21 τοὺς ἐν λόγοις ἀλαζονευσαμένους, ὁ δὲ Σπαρτιάτης Λυκοῦργος, ὡς | ἂν ζηλωτὴς Θάλητος τοῦ Κρητὸς γενόμενος, 679
τὸν αὐτὸν τοῖς Σπαρτιάταις νόμον εἰσηγήσατο· παρ' ἣν
5 αἰτίαν πολλοῖς ὕστερον χρόνοις τὸν ἐπὶ ξένης ῥητορικὴν
ἐκπονήσαντα νεανίαν ἐπανελθόντα ἐκόλασαν οἱ ἔφοροι,
τὴν αἰτίαν προσθέντες τῆς καταδίκης ὡς δολεροὺς λόγους 5
ἐπὶ παρακρούσει τᾶς Σπάρτας ἐμελέτησεν. καὶ αὐτοὶ δὲ
διέμειναν ῥητορικὴν μισοῦντες, ἀφελεῖ δὲ βραχυλογίᾳ
22 χρώμενοι. ὅθεν καὶ ὁ ἀντιχειροτονηθεὶς Ἀθηναίοις ὑπ'
11 αὐτῶν πρὸς Τισσαφέρνην πρεσβευτής, τῶν Ἀθηναίων
μακρὰς καὶ ποικίλας ῥήσεις διεξιόντων, δύο τῇ βακτηρίᾳ 10
γραμμὰς κατὰ τοῦ ἐδάφους χαράξας, τὴν μὲν εὐθεῖαν καὶ
μικρὰν τὴν δὲ ἐπιμήκη καὶ σκολιάν, 'τούτων' εἶπεν, 'ὦ
15 βασιλεῦ, ὁποτέραν θέλεις ἑλοῦ,' αἰνιττόμενος διὰ μὲν τῆς
ἐπιμήκους καὶ τῆς σκολιᾶς γραμμῆς τὴν τερθρείαν τὴν
ῥητορικήν, διὰ δὲ τῆς βραχείας ἅμα καὶ εὐθείας τὴν 15
23 ἀφελῆ καὶ σύντομον εὐθυρρημοσύνην, δι' ἣν οὐκ ἐν οἰκείοις μόνοις ἀλλὰ καὶ ξένοις τὴν ἀπεριττότητα τοῦ λό-
20 γου μεταδιώκουσιν. ἐκ μέσων μέντοι γε καὶ τὸν Χίων
πρεσβευτὴν περὶ ἐξαγωγῆς πυροῦ δεόμενον, ἐπεὶ μακρῶς
ἡρμήνευσε τὴν δέησιν, ἄπρακτον ἐξαπέστειλαν, ἑτέρου δὲ 20
πεμφθέντος συντομωτέρου (ἤπειγε γὰρ ἀνάγκη τοὺς
Χίους) ἔδοσαν· κενὸν γὰρ θύλακον αὐτοῖς οὗτος ἀνατεί-
25 νας ἀλφίτων αὐτὸν ἔφη δεῖσθαι. ὅμως δ' οὖν καὶ τοῦτον ὡς
ἀδολέσχην ἐμέμψαντο· ἀποχρώντως γὰρ κενὸς δειχθεὶς
24 ὁ θύλακος ἐσήμηνε τὴν τῶν Χίων αἴτησιν. ἔνθεν ὁ τραγικὸς 25
Ἴων κινηθεὶς εἶπεν ἐπ' αὐτῶν (fr. 63 Nauck = 107 Blum.)

οὐ γὰρ λόγοις Λάκαινα πυργοῦται πόλις,
30 ἀλλ' εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ,
βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται,

§ 20 *Κρητικὸς νομοθέτης* = § 21 *Θάλης*, cf. e. g. Strabo 10, 4, 19. Athen. XIII 611 A || 23 cf. Herod. III 46

8 *μὲν* pro *δὲ* dub. Bekk. || 9 *διένειμαν* A | *μιγνύντες* E: *μιγύντες* D | *βραχυλογία* VC || 16 *τῆς* om. ς || 19 *περιττότητα* ABV || 20 *καὶ τῶν* ς || 28 Ion Grammaticus Herv. || 30 *ἂν* del. Nieberding

679
30 ἅτε βουλευομένων μὲν τὰ κράτιστα, στυγούντων δὲ τὴν ῥητορικήν. ὅθεν εἰ μὴ τὰς τέχνας ἐκβάλλουσιν αἱ πόλεις, |
680 ἐκβεβλήκασι δὲ τὴν ῥητορικήν, οὐκ ἂν εἴη τῶν τεχνῶν ἡ ῥητορική. τὸ μὲν γὰρ ἀναστρέφειν καὶ λέγειν ὡς καὶ φι- 25 λοσόφους ἐξώρισάν τινες τῶν Ἑλληνίδων πόλεων, εὔηθές 5 ἐστιν. πρῶτον μὲν γὰρ οὐκ ἂν ἔχοιεν τούτῳ παρασχεῖν
5 μαρτυρίαν ὥσπερ ἐπὶ ῥητορικῆς οἱ τοὐναντίον συναγαγόντες· ἔπειτα εἰ καὶ ἐξέβαλόν τινες τῶν πόλεων φιλοσοφίαν, οὐ κατὰ γένος πᾶσαν ἐξέβαλον ἀλλὰ τινὰς αἱρέσεις, οἷον τὴν Ἐπικούρειον ὡς ἡδονῆς διδάσκαλον, τὴν Σωκρατικὴν 10 δὲ ὡς ἐκφαυλίζουσαν τὸ θεῖον. αἱ μέντοι γε προειρημέ-
10 ναι πόλεις οὐ τινὰ μὲν παρῃτήσαντο ῥητορικὴν τινὰ δὲ προσήκαντο, ἀλλὰ κοινῶς πᾶσαν περιέστησαν.

Πρός γε μὴν τοῖς εἰρημένοις, καὶ εἰ τέχνη πάντως 26 ἐστὶν ἡ ῥητορική, ἤτοι τῷ ἔχοντι ἢ ταῖς πόλεσιν ἔσται 15 χρειώδης ὡς καὶ αἱ λοιπαὶ τῶν τεχνῶν· οὔτε δὲ τῷ
15 ἔχοντι οὔτε ταῖς πόλεσίν ἐστιν ὠφέλιμος, ὡς παραστήσομεν· οὐκ ἄρα τέχνη καθέστηκεν. καὶ δὴ τῷ μὲν ἔχοντι 27 οὐκ ἔστιν ὠφέλιμος, ἐπεὶ πρῶτον μὲν ⟨ἐν⟩ ἀγοραῖς καὶ γραμματοφυλακίοις ἀναγκαῖόν ἐστι καλινδεῖσθαι, κἄν τε 20 θέλῃ κἄν τε μὴ θέλῃ, μετὰ μοχθηρῶν καὶ παλιμβόλων
20 καὶ συκοφαντῶν διατρίβειν, εἰς τοὺς αὐτοὺς ἐκείνοις τόπους κατερχόμενον, εἶτα καὶ τῆς αἰδοῦς ὀλίγην ποιεῖσθαι φειδώ, ἵνα μὴ εὐκαταφρόνητος εἶναι δοκῇ τοῖς πανουργοτέροις, θρασέως δὲ λέγειν καὶ τὴν τόλμαν ὥσπερ ὅπλον 28 προβεβλῆσθαι, ἵνα φοβερὸς ᾖ τοῖς ἀντιδίκοις, ἀπατητι- 26
25 κόν τε καὶ γόητα τυγχάνειν καὶ χειρίστοις ἐντεθραμμένον πράγμασι, μοιχείαις τε καὶ κλοπαῖς καὶ ταῖς πρὸς τοὺς γονεῖς ἀχαριστίαις, εἰς τὸ πραγματικῶς ταῦτα διελέγχειν ὅτε δεῖ, καὶ πάλιν ἐπιθολοῦν, ἔχειν δὲ ἐχθροὺς πολλοὺς 29 καὶ μῖσος πρὸς πάντας, τοὺς μὲν ὅτι ἀντηδικήθησαν, 31

§ 26 cf. Radermacher l. c. XIV

4 *καὶ* post *ὡς* om. VC || 6 *ἔχοις* LVr et exemplar ed. Gen. in marg. || 19 ⟨*ἐν*⟩ Bekk. || 20 *γραμματοφυλακείοις* ABR edd. || 23 *ὀλίγον* AB || 24 *πανουργοτάτοις* ED || 27 *τι* pro *τε* AB || 29 *ἀρχαριστείαις* LAB: *ἀχαριστείαις* VrCR || 30 *καὶ* om. B

τοὺς δὲ εἰδότας ὅτι τοῦ μισθωσαμένου [τί] ἐστί, καὶ ὃ 30
ἄλλους διέθηκε, τοῦτο καὶ αὐτούς ποτε πλείονι λήμματι
30 δελεασθεὶς διαθήσει, | μετὰ τοῦ διὰ παντὸς ἀγωνιᾶν καὶ 681
πειρατοῦ τρόπον ὁτὲ μὲν φεύγειν ὁτὲ δὲ διώκειν, ὥστε κο-
5 πούμενον νύκτωρ καὶ μεθ' ἡμέραν ὑπὸ τῶν πράγματα
ἐχόντων ὀχλεῖσθαι, μεστὸν δὲ ἔχειν τὸν βίον θρήνων τε
καὶ δακρύων, καὶ τινῶν μὲν εἰς δεσμωτήριον τινῶν δὲ 5
ἐπὶ τύμπανον ἀπαγομένων. ὥστε τῷ μὲν ἔχοντι ἐπιβλαβὴς
ἡ ῥητορική.

31 Καὶ μὴν οὐδὲ ταῖς πόλεσίν ἐστιν ὠφέλιμος· οἱ γὰρ
11 νόμοι πόλεών εἰσι σύνδεσμοι, καὶ ὡς [ψυχὴ] σῶμ⟨α πνεύ-
μα⟩τος ἐκφθαρέντος φθείρεται, οὕτω νόμων ἀναιρεθέντων
καὶ αἱ πόλεις διόλλυνται. παρὸ καὶ ὁ ἠθολόγος Ὀρφεὺς τὸ 10
ἀναγκαῖον αὐτῶν ὑποφαίνων φησὶν (fr. 292 Kern)

15 ἦν χρόνος ἡνίκα φῶτες ἀπ' ἀλλήλων βίον εἶχον
σαρκοδακῆ, κρείσσων δὲ τὸν ἥττονα φῶτα δάιζεν.

32 μηδενὸς γὰρ ἐπιστατοῦντος νόμου ἕκαστος ἐν χερσὶ τὸ
δίκαιον εἶχε, καθὼς (Hesiod. Op. 277) 15

ἰχθύσι ⟨μὲν⟩ καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς

20 ἐπιτέτραπται (ibid. 278)

ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἔστι μετ' αὐτοῖς,

μέχρις ὅτου ὁ θεὸς οἰκτείρων μογοῦσιν αὐτοῖς θεσμο-
φόρους θεὰς ἐξαπέστειλεν, ἃς ἐπὶ τῷ τὴν ἀλληλοφάγον 20
ἀνομίαν καταλῦσαι πλέον ἢ ἐπὶ τῷ καρποῖς ἡμερῶσαι τὸν
33 βίον ἐθαύμασαν ἄνθρωποι. ἐντεῦθεν καὶ οἱ Περσῶν χα-
26 ρίεντες νόμον ἔχουσι βασιλέως παρ' αὐτοῖς τελευτήσαν-

§ 33 cf. Serenus in Stob. ecl. IV 2, 26 (IV 1, 162, 12 W. H.)

1 [τί] Bekk. | ἐστι om. LVrς || 4 πειρατοῦσθαι ED | δὲ om. V || 5 νύκτωρ τε καὶ A || 7 καὶ ante τινῶν om. Herv. || 11 δεσμοὶ ED | [ ]⟨ ⟩ Theiler cl. Isocr. 7, 14. SVF I 138 || 13 θεολόγος Bekk., sed cf. M VII 10 || 18 καὶ ὡς G corr. Theiler || 19 ⟨ ⟩ sec. Hes. codd. | οἰωνοῖσι G || 21 ἔσθειν etiam Hesiodi codd. | ἐν sive ἐπ' αὐτοῖς Hes. codd. || 22 ⟨οὕτως ἄνθρωποι ἠνθρωποφάγουν,⟩ μέχρις dub. Bekk., quorum vice supra v. 18 mutavi | μέχρι ELD | ὅπου ED

681 τος πέντε τὰς ἐφεξῆς ἡμέρας ἀνομίαν ἄγειν, οὐχ ὑπὲρ
25 τοῦ δυστυχεῖν ἀλλ' ὑπὲρ τοῦ ἔργῳ μαθεῖν ἡλίκον κακόν
ἐστιν ἡ ἀνομία, σφαγὰς καὶ ἁρπαγὰς καὶ εἴ τι χεῖρόν
ἐστιν ἐπάγουσα, ἵνα πιστότεροι τῶν βασιλέων φύλακες
γένωνται. ἀλλ' ἥ γε ῥητορικὴ κατὰ τῶν νόμων εἰσκεκύ- 34
κληται. τεκμήριον δὲ παμμέγεθες τὸ παρὰ μὲν τοῖς βαρ- 6
30 βάροις, παρ' οἷς ἢ οὐδ' ὅλως ἢ σπανίως ἔστι ῥητορική,
τοὺς νόμους ἀσαλεύτους μένειν, παρὰ δὲ τοῖς προιεμένοις
682 αὐτὴν ὁσημέραι | νεοχμοῦσθαι, ὥσπερ καὶ παρ' Ἀθηναίοις, 35
καθάπερ καὶ Πλάτων ὁ τῆς ἀρχαίας κωμῳδίας (fr. 220 10
Kock) ποιητὴς λέγει· καὶ γὰρ τρεῖς ἐάν τις, φησίν, ἐκ-
δημήσῃ μῆνας, οὐκέτι ἐπιγινώσκειν τὴν πόλιν, ἀλλὰ παρα-
5 πλησίως τοῖς νυκτὸς περιπατοῦσι παρὰ τὰ τείχη καθάπερ
τινὰς ἀγγάρους κατάγεσθαι, τὸ ὅσον ἐπὶ τοῖς νόμοις μὴ
τῆς αὐτῆς οὔσης πόλεως. πρόδηλον δέ ἐστι τὸ κατὰ τῶν 36
νόμων αὐτὴν ὑπάρχειν καὶ ἐξ ὧν ἐν ταῖς κακοτέχνοις τέ- 16
χναις ὑποτίθενται. ὁτὲ μὲν γὰρ παραινοῦσι τῷ ῥητῷ καὶ
10 ταῖς φωναῖς τοῦ νομοθέτου προσέχειν ὡς σαφέσι καὶ μη-
δεμιᾶς ἐξηγήσεως δεομέναις, ὁτὲ δὲ ἀναστρέψαντες μήτε
τῷ ῥητῷ μήτε ταῖς φωναῖς ἀλλὰ τῇ διανοίᾳ κατακολου- 20
θεῖν· οὐδὲ γὰρ ὁ κολάζειν ἀξιῶν τὸν ἐπανατεινόμενόν τινι 37
σίδηρον τὸν ὁπωσοῦν ἐπανατεινόμενον, οἷον † δακτύλιον †,
15 ἢ ὁποιον⟨οῦν⟩, καθάπερ βελόνην, κολάζειν ἠξίωσεν, ἀλλ'
ἐὰν τὴν διάνοιαν αὐτοῦ πολυπραγμονῶμεν, τὸν ἀνδροφονῆ-
σαι τολμήσαντα τεθέληκεν[αι] τιμωρεῖσθαι. κελεύουσιν 38
δὲ ἐνίοτε καὶ κατὰ ἀποκοπὴν ἀναγινώσκειν τοὺς νόμους καὶ 26
ἐκ τῶν λειπομένων ἕτερόν τι νόημα συντιθέναι. πολλάκις δὲ
20 καὶ ἀμφιβόλους λέξεις διαστέλλουσι, πρόσφορον ἑαυτοῖς
κατασκευάζοντες τὸ σημαινόμενον· καὶ ἄλλα μυρία πρὸς
ἀνατροπὴν τῶν νόμων ποιοῦσιν. ὅθεν καὶ ὁ Βυζάντιος ῥή- 30

**§ 36** cf. Radermacher l. c. XIV || **37** ~ Pap. Halensis I 186 (Dikaiomata, ed. Graeca Halensis, Berolini 1913)

**7** *οὐθ'* G: corr. Bekk. || **8** *προσιεμένοις* ς edd. || **12** *ἐπιγινώσκει* G: corr. Fabr. || **14** *κατάγεται* Bury || **16** *αὐτὸν* ED || **19.20** *μὴ δὲ ... μὴ δὲ* G: corr. Bekk. || **21** *ἐπανατεινάμενον* LVr || **22** *τὸ ὁπωσοῦν* LVr | *δὶ ἄμυναν* ci. Theiler || **23** ⟨ ⟩ Harder || **25** *τεθέληκε* dub. Bekk.

τωρ ἐρωτηθεὶς πῶς ὁ Βυζαντίων ἔχει νόμος εἶπεν 'ὡς ἐγὼ
39 θέλω.' καθὰ γὰρ οἱ ψηφοπαῖκται τὰς τῶν θεωμένων
ὄψεις δι' ὀξυχειρίαν κλέπτουσιν, οὕτως οἱ ῥήτορες διὰ 25
πανουργίαν τὰς τῶν δικαστῶν διανοίας ἀμαυρώσαντες τῷ
40 νόμῳ συγκλέπτουσι τὰς ψήφους. τό γε μὴν τῶν παρα-
6 νόμων ψηφισμάτων εἶδος οὐδεὶς ἐτόλμησε γράφειν ἀλλ'
ἢ οἱ ῥήτορες. τὸν γοῦν γραφέντα κατὰ Κτησιφῶντος Δη-
μοσθένης πολλὰ βοῶν καὶ τερατευόμενος ἥρπασεν. ὅθεν 30
καὶ ὁ Αἰσχίνης (adv. Ctesiph. 193) | 'κακὸν ἔθος' φησὶν 683
10 'εἰς τὰ δικαστήρια παρῆλθεν· ὁ μὲν γὰρ κατήγορος ἀπο-
λογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δι-
κασταὶ ὧν μή εἰσι κριταί, περὶ τούτων ψηφοφορεῖν
41 ἀναγκάζονται.' ἀλλ' εἰ κατὰ τῶν νόμων ἐστὶν ἡ ῥητορική, 5
πρὸς τῷ μὴ χρησιμεύειν τι καὶ βλαβερὰ καθέστηκεν. οὐ
15 μὴν ἀλλ' οὐδὲ οἱ δημαγωγοῦντες ῥήτορες ἐπ' ἀγαθῷ τῶν
πόλεων προβαίνουσιν, ἀλλ' ὃν λόγον ἔχει φαρμακοπώλης
πρὸς ἰατρόν, τοῦτον ὁ δημαγωγὸς πρὸς τὸν πολιτικόν.
42 κακοδιδασκαλεῖ γὰρ τοὺς πολλοὺς τὰ κεχαρισμένα λέγων, 10
καὶ διαβολαῖς αὐτοὺς ἐξαλλοτριοῖ πρὸς τοὺς ἀρίστους.
20 λόγῳ μὲν γὰρ καὶ τῷ δοκεῖν ὑπὲρ τοῦ κοινῇ συμφέροντος
ὑπισχνεῖται πάντα ποιήσειν, ταῖς δὲ ἀληθείαις ἀπ' οὐ-
δενὸς ὑγιοῦς τροφὴν πορίζεται, ἐοικότως ταῖς τίτθαις, αἳ
μικρὸν τοῦ ψωμίσματος τοῖς παιδίοις διδοῦσαι τὸ ὅλον 15
καταπίνουσιν.

43 Τοσαῦτα μὲν οὖν καὶ τοῖς Ἀκαδημαϊκοῖς ἐν καταδρο-
26 μῆς μέρει λέγεται περὶ ῥητορικῆς, ὥστε εἰ μήτε τῷ
ἔχοντι μήτε τοῖς πέλας ἐστὶν ὠφέλιμος, οὐκ ἂν εἴη τέχνη.
ἀλλὰ πρὸς ταῦτα ἀπολογούμενοί τινες μέν φασιν ὅτι διτ-
τῆς οὔσης ῥητορικῆς, τῆς μὲν ἀστείας καὶ ἐν σοφοῖς τῆς 20
30 δὲ ἐν μέσοις ἀνθρώποις, τὴν κατηγορίαν γεγονέναι οὐ τῆς
44 ἀστείας ἀλλὰ τῆς τῶν μοχθηρῶν. τινὲς δὲ καὶ ὑποδείγ-

§ **42** ψωμίσματος cf. Aristoph. equit. 715—718 || **43** cf. Radermacher l. c. XIV || **44** cf. Plat. Gorg. 456 D

**5** τό τε ED || **10** γὰρ om. ς || **14** πρὸς τὸ LVrA || **18** γὰρ πρὸς τοὺς D || **22** ἐοικότος ς: εἰκότως Gen. Fabr. || **30** μοχθηροῖς pro μέσοις dub. Bekk.

683
μασι χρῶνται· ὡς γὰρ ὁ τὸν πατέρα τύπτων παγκρατιαστὴς οὐ διὰ τὴν παγκρατιαστικὴν τέχνην γίνεται πα-
25 τροτύπτης, ἀλλὰ διὰ τὴν τῶν τρόπων μοχθηρίαν, οὕτως ὁ ῥητορικὴν ἐξασκήσας, εἶτα κατὰ πατρίδος αὐτῇ καὶ νόμων χρώμενος οὐ διὰ ῥητορικὴν τοιοῦτός ἐστιν, ἀλλὰ 5 διὰ τὴν ἰδίαν πονηρίαν. λέληθε δὲ τοὺς μὲν πρώτους ὅτι 45 ἄκοντες δεδώκασι τὴν ἀνυπαρξίαν τῆς ῥητορικῆς· μηδενὸς
30 γὰρ εὑρισκομένου σοφοῦ ἢ σπανίως γε εὑρισκομένου δεήσει καὶ τὴν ἐν αὐτοῖς ῥητορικὴν ἢ ἀνύπαρκτον ἢ σπάνιον εἶναι. πρὸς δὲ τοὺς δευτέρους ῥητέον ὅτι ἀνόμοιόν ἐστι | 46
684 τὸ παράδειγμα τοῖς ἐν χερσὶ ζητουμένοις· ἡ μὲν γὰρ 11 ἄθλησις οὐχ ὑποδείκνυσι τὴν πρὸς τὸ κακὸν χρῆσιν αὐτῆς οἷον τὴν πατροτυψίαν, ἡ δὲ ῥητορικὴ τοῦθ' ὡς προηγούμενον ἔργον διδάσκει, οἷον πῶς ἂν τὰ μικρὰ μεγάλα
5 ποιήσαιμεν τὰ δὲ μεγάλα μικρά, ἢ πῶς ἂν τὰ μὲν δίκαια 15 ἄδικα φανείη τὰ δὲ ἄδικα δίκαια. καθόλου δὲ τῆς ῥητορι- 47 κῆς ἐξ ἐναντίων συνισταμένης λόγων οὐκ ἐνδέχεται τὸν μὲν ἀστεῖον λέγειν ῥήτορα, τὸν δὲ μὴ τοιοῦτον οὐκέτι. ὁποῖος γὰρ ἂν ᾖ ὁ ῥήτωρ, πάντως τοὺς ἐναντίους ἐκ-
10 μελετᾶν ὀφείλει λόγους, ἐν δὲ τοῖς ἐναντίοις ἔστι καὶ τὸ 20 ἄδικον· πᾶς ἄρα ῥήτωρ καὶ τοῦ ἀδίκου συναγωνιστὴς ὢν ἄδικός ἐστιν.

Ἀλλὰ ὅτι μὲν οὐ ῥητέον τὴν ῥητορικὴν τέχνην, ἐκ τού- 48
15 των συμφανές· τὸ δὲ μετὰ τοῦτο καὶ ἐκ τῆς ὕλης περὶ ἥν ἐστι σκοπῶμεν αὐτῆς τὸ ἀνυπόστατον. καίτοι προαπο- 25 δέδοται ἡμῖν τὸ κεφάλαιον ἐν τῷ πρὸς τοὺς γραμματικούς (M I 99 sqq.). εἰ γὰρ περὶ λόγον ἡ γραμματικὴ πονεῖται, οὔτε δὲ λέξις ἐστί τι οὔτε λόγος ἐκ λέξεων συγκείμενος, ὡς ἐπεδείξαμεν, διὰ τὸ οὗ τὰ μέρη μὴ ἔστιν
20 ἀνύπαρκτον εἶναι, ἀκολουθήσει καὶ τὸ τὴν ῥητορικὴν ἀν- 30 υπόστατον ὑπάρχειν. ὅμως δ' οὖν ῥητέον πρῶτον μὲν ὅτι 49 οὐκ εἰ τὸν λόγον ἐξεπόνησεν ἡ ῥητορική, πάντως ἐστὶν

4 *αὐτῇ* om. lacuna intermissa et in marg. voce *αὐτῇ* addita L: *δι' ὅλου* ED || **12** *ὑποδεικνύουσι* ELVr | *αὐτοῖς* ς || **14** *οἷον* om. C | *κείμενον· λέγουσι* in marg. VC | *μικρὰ*—15 *ἂν τὰ* om. V, in marg. al. man. suppl. || **19** *ὁ* om. EDLVr || **27** *γραμματικὴ* G: *ῥητορικὴ* Bekk.

684 ἔντεχνος, ἀλλ' εἰ τὸν συμφέροντα. καθὸ γὰρ φαρμάκων διαφόρων ὄντων, καὶ τῶν μὲν θανασίμων τῶν δὲ σωτηρίων, ἡ μὲν ἐν τοῖς θανασίμοις ἕξις καταγιγνομένη οὔτε 25 τέχνη τίς ἐστιν οὔτε ἰατρική, ἡ δὲ περὶ τὰ σωτήρια καὶ 5 τέχνη καὶ βιωφελής, οὕτω καὶ λόγων τῶν μὲν συμφερόντων τῶν δὲ βλαπτικῶν ὄντων, εἰ μὴ περὶ τοὺς συμφέροντάς ἐστιν ἡ ῥητορικὴ ἀλλὰ τοὺς βλαβερούς, πρὸς τῷ μὴ εἶναι τέχνη ἔτι καὶ κακοτεχνία γενήσεται. παρεστή- 30 σαμεν δέ γε πρότερον ὅτι βλαπτικωτάτοις ἐνυποδύεται

50 λόγοις· τοίνυν οὐδὲ τέχνη καθέστηκεν. καὶ μὴν εἴπερ ἡ 11 συκοφαντικὴ καὶ ἡ ὀχλο|κοπικὴ τὸ λέγειν ἐξήσκησαν καὶ 685 οὔκ εἰσι τέχναι, δῆλον ὡς καὶ ἡ ῥητορικὴ κατὰ ψιλὸν τὸ ἐκπεπονηκέναι τὴν ἐν τῷ λέγειν δύναμιν ἐξεταζομένη οὐδὲ γενήσεται τέχνη. ἀλλὰ μὴν ἡ συκοφαντικὴ καὶ ἡ 15 ὀχλοκοπικὴ τὸ λέγειν ἐξήσκησαν καὶ οὔκ εἰσι τέχναι· 5

51 τοίνυν οὐδὲ ἡ ῥητορική. πρός γε μὴν τοῖς εἰρημένοις, οὐδὲ ἴδιον ῥητορικῆς ἐστι τοῦτο, ἀλλὰ τὸ κοινὸν παντὸς λογικοῦ μαθήματος· καὶ γὰρ ἰατρικὴ εὖ λέγει περὶ τῶν ἑαυτῆς θεωρημάτων καὶ μουσικὴ περὶ μουσικῶν. διόπερ 20 ὡς ἑκάστη τούτων οὔκ ἐστιν ἕνεκα τοῦ λέγειν ῥητορική, 10 οὕτως οὐδὲ περὶ ἧς ἐστιν ἡ ζήτησις.

52 Συνελόντι δὲ φάναι, οὐδὲ κατασκευάζει καλὴν λέξιν ἡ ῥητορική. οὐδὲ γὰρ ὑποδείκνυσιν ἡμῖν τὴν εἰς τοῦτο τεχνολογίαν, οἷον ὅτι καλῇ λέξει χρῆται πρῶτον μὲν ὁ 25 μὴ ἐκκλίνων τὰ κατὰ τὴν συνήθειαν λεγόμενα, καθὼς καὶ ἐν τῷ πρὸς τοὺς γραμματικοὺς ὑπεδείξαμεν (M I 189sq.), 15 εἶτα καὶ ὁ τοῦ νοουμένου πράγματος ἀσφαλῶς κρατῶν· ῥέμβεται γὰρ ἡ λέξις ἀγνοουμένων τούτων, παρὸ καὶ εἰς τοῦτο ἀποβλέποντες ἀγαθὸν εἶναι λέγομεν ῥήτορα ἕκαστον

53 τῶν ἰδίων ἐπιτηδευμάτων. σὺν δὲ τούτοις καὶ ὁ περιεσκεμ-

§ 51 cf. Radermacher l. c. XVIII

**1** *καθὰ* Bekk. ‖ **5** *τῶν λόγων τῶν* A ‖ **12** *ψιλὴν* EDA ‖ **14** *οὔτε* G: *οὐ* Bekk.: corr. Harder | *συκοφαντία* ς ‖ **18** *οὐ* pro *εὖ* ED ‖ **25** *τὴν* om. ς ‖ **27** *οὐ* pro *ὁ* G, sed *ἐκ* (ου supra) E, *ἐκ οὐ* D ‖ **29** *λέγομεν εἶναι* ς edd.

685

20 *μένος τίνες τῶν λέξεων κατὰ τὴν συνήθειαν κεῖνται καὶ τίνες δοξαστῶς, τὸ ἑκάστῳ πρόσφορον ἀποδίδωσιν. ‘βαλανεῖον’ μὲν γὰρ ‘ἀνδρεῖον’ κατὰ τὴν συνήθειαν εἴρηται ἀπὸ τοῦ ἄνδρας λούειν, ὁ δὲ ‘πλούσιος μακάριος’ καὶ ‘ὁ θάνατος κακὸν’ τῶν δοξαστῶν· τό τε γὰρ τὸν θάνατον τῶν κακῶν* 5

25 *εἶναι καὶ τὸν πλοῦτον τῶν ἀγαθῶν ἄδηλον καὶ δοξαστόν.*

*χρῷτο δ' ἂν καλῶς λέξει καὶ ὁ κατειληφὼς τίνος ἕνεκα* 54 *τὰς μεταλήψεις ποιούμεθα τῶν λέξεων, ἤτοι ὑπὲρ τοῦ μὴ εὐθυρρημονεῖν προσκοπὴν φέροντος τοῦ εὐθέος ῥήματος, ἢ ὑπὲρ τοῦ τι σαφηνίζειν, ὡς ὅταν τὸ μὲν αἴτιον εἰς τὸ* 10

30 *ποιοῦν μεταλαμβάνωμεν, τὸ δὲ σημεῖον εἰς τὸ δηλοῦν.*

*εἰ μὲν οὖν, ὡς ἔφην, ἐτεχνολογεῖτό τινα περὶ τούτων τοῖς* 55 *ῥήτορσι, τάχα ἂν καὶ τὸ καλῶς λέγειν καὶ τὴν κεκαλλω-|*

686 *πισμένην λέξιν ἐκ ῥητορικῆς εἶχον. νῦν δὲ επεὶ ταύτης τῆς θεωρίας οὐ ψαύουσιν, ἢ εἰ ψαύοιεν, οὔτι γε κατὰ ῥη-* 15 *τορικήν, λεκτέον μὴ ῥητορικῆς ἴδιον εἶναι τὸ καλλιλεκτεῖν.*

5 *ἥ τε λέξις καθ' ἑαυτὴν οὔτε καλή ἐστιν οὔτε μοχθηρά.* 56 *τεκμήριον δὲ τὸ τῇ αὐτῇ ὑπὸ μὲν ἀστείου καὶ σεμνοῦ λεγομένῃ προσκόπτειν ἡμᾶς, ὑπὸ δὲ μίμου γελωτοποιοῦντος μηδαμῶς. διόπερ ὅταν λέγηται ὁ ῥήτωρ καλῆς λέ-* 20 *ξεως εἶναι κατασκευαστικός, ἤτοι κατὰ τοῦτο λέγεται,*

10 *καθὸ τὴν τὰ συμφέροντα πράγματα δηλοῦσαν λέξιν κατασκευάζει, ἢ τὴν οἵα ἐστὶν ἡ τοῦ ἑλληνίζειν, ἢ τὴν [οἵαν] ἐναργῶς καὶ συντόμως καὶ ἐγκατασκεύως δηλοῦσαν τὰ πράγματα. οὔτε δὲ καθὸ τὴν τὰ συμφέροντα πράγματα* 57 *μηνύουσαν· οὐδὲν γὰρ ἴσασι περὶ τούτων τῶν πραγμάτων* 26 *οἱ ῥήτορες. οὔτε καθὸ τὴν οἵα ἐστὶν ἡ τοῦ ἑλληνίζειν·*

15 *κοινὸν γὰρ ἦν τοῦτο τῶν τῇ συνηθείᾳ καὶ ταῖς ἐλευθέραις τέχναις προσεχόντων. οὔτε καθὸ τὴν σαφῶς καὶ συντόμως καὶ ἐγκατασκεύως μηνύουσαν τὰ πράγματα· τοὐ-* 30 *ναντίον γὰρ περίοδον καὶ ἐπιφώνημα λέγειν θέλοντες οἱ*

**1** et **3** *ἀλήθειαν* pro *συνήθειαν* dub. Bekk. || **8** *ἤτοι μὴ ἐπὶ τοῦ* ED || **10** *ὁ* pro *ἢ* ED || **12** *οὖν* om. EDς || **15** *οὔ τοί γε* edd. || **18** *τὸ* om. C || **19** *προσκοπεῖν* G: corr. Bekk. || **21** *εἶναι* om. ED || **22** *κατασκευάζειν* ς || **23** *οἵαν* del. Bekk. || **27** *τὴν καθὸ* G: corr. Bekk. || **31** *θέλοντες λέγειν* ς edd.

ῥήτορες, καὶ μὴ φωνᾶεν φωνάεντι συγκρούειν, καὶ ὁμοιο- 20
τέλευτον διάνοιαν κατακλίνειν, ἐκκλείονται τῆς σαφοῦς
58 ἅμα καὶ συντόμου τῶν πραγμάτων ἑρμηνείας. οὐκ ἄρα
ῥητορικῆς ἐστι τὸ κατασκευάζειν καλὴν λέξιν καὶ τὸ εὖ
5 λέγειν. δοθέντος τε τούτου οὐδ' ἄν τις ἕλοιτο τὴν τοιαύτην
φράσιν, πρῶτον μὲν διὰ τὸ μὴ πίπτειν αὐτὴν εἰς τὴν 25
κοινὴν τοῦ βίου χρῆσιν· οὐδεὶς γὰρ ἡμῶν οὕτω διαλέ-
γεται ὡς οἱ ῥήτορες ἐπὶ τῶν δικαστηρίων, ἐπεὶ κατα-
γελασθήσεται. καὶ αὐτοὶ δὲ ἐκεῖνοι πάντοτε ἐξελθόντες
10 τῆς διατριβῆς καὶ τοῦ ἀγῶνος ἄλλῃ χρῶνται πρὸς τοὺς
59 πέλας ἑρμηνείᾳ. εἶτα καὶ ὡς ἔφην, προσκοπὴν ἐμποιεῖ τὸ
μετὰ προσοχῆς καὶ ῥητορείας λαλεῖν. μετακτέον δὲ τὰ| 30
πρότερον πρὸς τοὺς ἀναλογιστικοὺς τῶν γραμματικῶν 687
εἰρημένα, καὶ διδακτέον ὅτι τῇ συνηθείᾳ προσεκτέον μᾶλ-
15 λόν ἐστι θέλοντας εὖ λέγειν ἤπερ τέχνῃ τινὶ περιεργοτέρᾳ.
60 Τὰ νῦν δὲ μετελθόντες καὶ ἀπὸ τοῦ τέλους τῆς ῥη-
τορικῆς ποιώμεθα τὰς ἐνστάσεις. πάλιν τοίνυν λεκτέον ὡς 5
εἰ μηδέν ἐστι ῥητορικῆς τέλος, οὐδέν ἐστι ῥητορικὴ διὰ
τὸ πᾶσαν τεχνικὴν ἕξιν πρός τι τέλος λαμβάνειν τὴν ἀνα-
20 φοράν. οὐχὶ δέ γε ἔστι τι ῥητορικῆς τέλος, ὡς δείξομεν·
61 οὐκ ἄρα ἐστὶ τέχνη ἡ ῥητορική. οἱ μὲν οὖν πλεῖστοι καὶ 10
χαρίεντες ἔσχατον οἴονται τῆς ῥητορικῆς ἔργον εἶναι τὸ
πείθειν. καὶ γὰρ οἱ περὶ τὸν Πλάτωνα εἰς τοῦτο ἀπι-
δόντες δύναμιν εἰρήκασιν αὐτὴν τοῦ διὰ λόγων πείθειν,
25 καὶ οἱ περὶ τὸν Ξενοκράτην πειθοῦς δημιουργόν, καὶ
Ἀριστοτέλης (rhet. I 2. 1355b 26) δύναμιν τοῦ θεωρεῖν
τὸ ἐνδεχόμενον πιθανόν. καὶ Ἀρίστων ὁ Κριτολάου γνώ- 15
ριμος σκοπὸν μὲν ἐκκεῖσθαί φησιν αὐτῇ τὴν πειθώ, τέλος
62 δὲ τὸ τυχεῖν τῆς πειθοῦς. καὶ Ἑρμαγόρας τελείου ῥήτορος
30 ἔργον εἶναι ἔλεγε τὸ τεθὲν πολιτικὸν ζήτημα διατίθεσθαι

§ 59 cf. Radermacher l. c. XVIII || 61 *Ξενοκράτην* fr. 14 Heintze, sed cf. supr. § 6. De fonte huius loci Radermacher l. c. XIX. Quintil. inst. or. II 15

1 *φωνάεντι* *φωνάεντι* ς || 2 *κατακλείειν* dub. Bekker, prob. We. || 2.3 *σαφοῦς ἀλλὰ καὶ* G: corr. Bekk. || 5 *δὲ* LVr | *τούτου κἂν τις* G: corr. Harder || 14 *ὅτι* om. ς || 28 *αὐτῇ φησιν* ED *αὐτὴν* AB

687
κατὰ τὸ ἐνδεχόμενον πειστικῶς. Ἀθήναιος δὲ λόγων δύ-
20 ναμιν προσαγορεύει τὴν ῥητορικὴν στοχαζομένην τῆς τῶν
ἀκουόντων πειθοῦς, καὶ Ἰσοκράτης φησὶ μηδὲν ἄλλο ἐπι-
τηδεύειν τοὺς ῥήτορας ἢ ἐπιστήμην πειθοῦς. ὅθεν καὶ 63
ἡμεῖς στοιχοῦντες τῇ τούτων φορᾷ λέγομεν εὐθὺς ὅτι τὸ 5
πιθανὸν προσαγορεύεται τριχῶς, καθ' ἕνα μὲν τρόπον
25 ὅπερ ἐναργῶς τε ἀληθές ἐστι καὶ ἀληθοῦς ἐμποιοῦν φαντα-
σίαν ἐπισπᾶται ἡμᾶς εἰς συγκατάθεσιν, καθ' ἕτερον δὲ
ὅπερ ψεῦδός ἐστι καὶ ἀληθοῦς ἐμποιοῦν φαντασίαν ἐπι-
σπᾶται ἡμᾶς εἰς συγκατάθεσιν (ὅπερ καὶ εἰκὸς ὀνομάζειν 10
εἰώθασιν οἱ ῥήτορες ἀπὸ τοῦ ἐοικὸς εἶναι τῷ ἀληθεῖ),
30 κατὰ δὲ τὸν τρίτον τρόπον τὸ κοινὸν τοῦ τε ἀληθοῦς καὶ
ψεύδους. τοσαυταχῶς δὴ λεγομένου τοῦ πιθανοῦ, ἄξιόν 64
ἐστι πυθέσθαι τῶν ῥητόρων κατὰ τί τούτων τῶν πιθα-
688 νῶν οἴονται | τὴν ῥητορικὴν τοῦ πείθειν ἐφίεσθαι, καὶ περὶ 15
ποῖον αὐτῶν τεχνιτεύειν αὐτὴν ἀξιοῦσιν, περὶ τὸ ἐναργῶς
ἀληθὲς ἢ περὶ τὸ ἐοικὸς τούτῳ ψεῦδος ἢ ὃ περὶ τὴν ἀμφο-
τέρων κοινότητα στρέφεται. ἀλλὰ περὶ μὲν τὸ ἐναργῶς 65
5 ἀληθὲς οὐχ οἷόν τε· τοῦτο γὰρ ἐξ αὑτοῦ πείθει καὶ ἐπι-
σπᾶται ἡμᾶς πρὸς συγκατάθεσιν, ὥστε παρέλκειν τὴν ἐκ 20
ῥητορικῆς ἐπ' αὐτοῦ συνισταμένην πειθώ. καὶ καθάπερ
οὐδεμιᾶς δεόμεθα τέχνης πρὸς τὸ πείθεσθαι ὅτι νῦν
ἡμέρα ἐστὶν ἢ ὅτι νῦν ἐγὼ διαλέγομαι, πραγμάτων ὄντων
10 ἐναργῶν καὶ αὐτοφωράτων, οὕτως οὐδὲ πρὸς τὸ συγκατα-
τίθεσθαι τῷ ἀνδροφόνον εἶναι τὸν ἐπ' αὐτοφώρῳ λη- 25
φθέντα ἀνδροφόνον χρεία ῥητορικῆς. καὶ ἄλλως, εἰ τοῦ προ- 66
δήλως ἀληθοῦς, ᾗ πιθανόν ἐστι, θεωρητικὴ καθέστηκεν
ἡ ῥητορική, πάντως καὶ τοῦ ἀπιθάνου γενήσεται θεωρη-
15 τική· ταυτὶ γὰρ κατὰ τὴν νῦν ὡς πρὸς ἄλληλα σχέσιν
λαμβάνεται, καὶ ᾧ λόγῳ ὁ τὸ ἀριστερὸν κατειληφὼς ἐξ 30
ἀνάγκης ἐπιβάλλει καὶ τῷ οὗ ἀριστερόν ἐστιν, οὕτως ὁ

§ 63 ~ M VII 174

**1** ἀθηναῖος G || **5** ἐλέγομεν ς || **19** αὐτοῦ ς || **23** ⟨τῶν⟩ πραγμάτων dub. Bekk. || **26** ᾗ pro εἰ ς || **29** νῦν om. LVr ς || **31** καὶ τὸ οὗ ς

τὸ πιθανὸν ἀληθὲς διακρίνων ἀπὸ τοῦ μὴ τοιούτου γνῶ-
67 σιν ἔχει καὶ τοῦ ἀληθοῦς ἀπιθάνου. ἐπεὶ οὖν πᾶν ἀληθές,
ὁποῖόν ποτ' ἂν ᾖ, ἤτοι πιθανόν ἐστιν ἢ ἀπίθανον, ἀκο- 20
λουθήσει τὴν ῥητορικὴν παντὸς ἀληθοῦς εἶναι θεωρητι-
5 κήν. τῷ δὲ παντὸς ἀληθοῦς εἶναι θεωρητικὴν ἀκολουθή-
σει τὸ καὶ παντὸς ψεύδους· ᾧ γὰρ λόγῳ ὁ διακριτικὸς
τοῦ πιθανοῦ ἐξ ἀνάγκης καὶ τοῦ ἀπιθάνου διακριτικὸς
ἔσται, τῷ αὐτῷ καὶ ὁ παντὸς ἀληθοῦς ἐπιγνώμων συν- 25
επιβάλλει παντὶ τῷ ἀντικειμένῳ, τουτέστι τῷ ψεύδει. εἰ
10 δὲ τοῦτο, ἔσται ἡ ῥητορικὴ γνῶσις ἀληθῶν τε καὶ ψευ-
δῶν. οὐ πάνυ δέ γε τοῦτο· τοίνυν οὐδὲ τοῦ αὐτόθεν ἀλη-
68 θοῦς ἐστι θεωρητική. καὶ μὴν τοῖς ἀντικειμένοις συναγο-
ρεύειν ἐπαγγέλλεται, τὰ δὲ ἀντικείμενα οὐκ ἔστιν ἀληθῆ· 30
οὐκ ἄρα τοῦ ἀληθοῦς ἐφίεται ἡ ῥητορική. καὶ μὴν οὐδὲ
15 τοῦ ψεύδους· οὐδεμία γὰρ περὶ ψεῦδος ἵσταται τέχνη,
ἀλλ' ἀναγκαῖόν ἐστι τὴν | ῥητορικὴν τοῦτο μεταδιώκουσαν 689
ἢ μὴ εἶναι τέχνην ἢ κακοτεχνίαν ὑπάρχειν, μετὰ τοῦ
69 πάλιν τὰς αὐτὰς ὑπαντιάζειν ἀπορίας. εἰ γὰρ περὶ τὸ
πιθανὸν ψεῦδος καταγίνεται, πάντως εἴσεται καὶ τὸ ἀπί-
20 θανον. ἐπεὶ οὖν πᾶν ψεῦδος ἤτοι πιθανόν ἐστιν ἢ ἀπί- 5
θανον, παντὸς ψεύδους ἐπιστήμη γενήσεται, καὶ διὰ τοῦτο
καὶ παντὸς ἀληθοῦς, ὥστ' αὐτὴν μὴ διαφέρειν τῆς δια-
70 λεκτικῆς· ὃ κατὰ πολλοὺς τρόπους ἐστὶν ἄτοπον. οὐ μὴν
ἀλλ' εἰ τῶν ἀντικειμένων συνήγορος καθέστηκε, τὰ δὲ
25 ἀντικείμενα οὐκ ἔστι ψευδῆ, οὐκ ἂν εἴη ψεύδους θεωρη- 10
τική. ἔτι εἴπερ εἰκός ἐστι τὸ τὰς πλείστας ἀφορμὰς εἰς
τὸ ἀληθὲς εἶναι παρεχόμενον, καὶ παράλογον, ὃ δὴ τούτῳ
ἀντίκειται, τὸ ὀλίγας ἀφορμὰς καὶ σπανίους ἔχον εἰς τὸ
ἀληθὲς εἶναι, πάντως ἡ ῥητορικὴ εἰς τὸ ἐναντίον ἐπιχει-
30 ροῦσα οὐ μᾶλλον τοῦ εἰκότος ἢ τοῦ ἀντικειμένου στοχά- 15
71 ζεται. καὶ μὴν οὐδὲ τὸ κοινὸν τοῦ τε ἀληθοῦς καὶ ψεύ-

§ 68 cf. Radermacher l. c. XIX

2 *ἀληθοῦς* del. Bekk. || 5 *τῷ — θεωρητικὴν* om. Dς || 8 *τὸ αὐτὸ* EDς | *συνεπιβαλεῖ* dub. Bekk. poscit Theiler || 19 *οἴσεται* ED || 27 *παρ' ὀλίγον* G: corr. Bekk.

689 δους μεταδιώκει· ἐν τούτῳ γὰρ καὶ ψεῦδος κατεπέπλεκτο· ἄτοπόν τε καθειστήκει τὸ τέχνην ψευδέσι χρῆσθαι, σὺν τῷ κατὰ τὸν προϋποδεδειγμένον τρόπον ἀκολουθεῖν τὸ καὶ 20 ἐπιστήμην αὐτὴν ἀληθῶν τε καὶ ψευδῶν γίνεσθαι, τοῦ πράγματος μὴ οὕτως ἔχοντος. ἀλλ' εἰ μήτε ἀληθὲς μήτε 5 ψεῦδος μήτε τὸ κοινὸν ἀμφοτέρων θεωρεῖν δύναται ἡ ῥητορική, παρὰ δὲ ταῦτα οὐδέν ἐστι πιθανόν, οὐκ ἂν εἴη ῥητορικῆς τὸ πείθειν.

Ἡμεῖς μὲν οὖν ταύταις ἀξιοῦμεν ταῖς ἐνστάσεσι χρῆ- 72 25 σθαι πρὸς τοὺς ῥήτορας, ἄλλοι δὲ καὶ τὰς λεχθησομένας 10 εἰώθασι παραλαμβάνειν, αἷς ἐξέσται τῷ βουλομένῳ χρῆσθαι. φασὶ γάρ, ἤτοι τέχνη ἐστὶν ἡ ῥητορικὴ ἢ οὐκ ἔστιν. καὶ εἰ μὲν μή ἐστι, μηδὲ τέλος αὐτῆς ζητῶμεν· εἰ δέ ἐστι, πῶς κοινὸν ἔχει τέλος καὶ τοῦ μὴ ῥήτορος; τὸ γὰρ 30 πείθειν πολλοῖς πάρεστι διὰ πλοῦτον ἢ κάλλος ἢ δόξαν, 15 ὡς πρότερον (§ 4) ὑπεδείκνυμεν. ῥηθέντων δὲ πολλάκις 73 τῶν λόγων καὶ ἐπ' αὐτοῖς πεπεισμένων τῶν δικαστῶν 690 οὐδὲν | ἧττον προσμένουσιν οἱ ῥήτορες, ἕτερόν τι ἀπεκδεχόμενοι τέλος, καὶ προσμένοντες δέονται. οὐκ ἄρα τὸ πείθειν ῥητορικῆς ἐστι τέλος, ἀλλ' εἰ ἄρα, ⟨τὸ⟩ μετὰ τοῦτο 20 ἐπακολουθοῦν. ἄλλως τε καὶ ἐναντίος ἐστὶν ὁ ῥητορικὸς 74 5 λόγος πειθοῖ. πρῶτον μὲν γὰρ περίεργος καθέστηκεν, προσκόπτουσι δὲ οἱ πολλοὶ τῇ τοῦ λόγου περιεργίᾳ· εἶτα 75 ὁ ἀσαφὴς λόγος οὐκ ἔστι πειστικός, ὁ δὲ τῶν ῥητόρων λόγος ἐν περιόδοις κείμενος καὶ ἐνθυμήμασιν ἧττόν ἐστι 25 σαφής· οὐκ ἄρα πειστικὸς ὁ ἀπὸ τῆς ῥητορικῆς ἐστι 10 λόγος. ὅ τε εὔνοιαν τοῖς δικασταῖς ἐμποιῶν λόγος, οὗτός 76 ἐστι πειστικός· εὔνοιαν δὲ ἐμποιεῖ οὐχ ὁ ῥητορικὸς ἀλλ' ὁ ἀφελὴς καὶ τὸν ἰδιωτικὸν ὑποφαίνων τύπον. τῷ μὲν γὰρ τοῦ ῥήτορος ἀντίκεινται πάντες ταῖς ὑπεροχαῖς φθο- 30 νοῦντες· κἂν γὰρ δίκαια κατασκευάζῃ ὁ ῥήτωρ, δοκοῦσι 15 μὴ διὰ τὴν τῶν πραγμάτων φύσιν ἀλλὰ διὰ τὴν τοῦ ῥή-

**§ 72** cf. Quintil. inst. II 17, 22 || **73** cf. Radermacher l. c. XIX

**14** *καὶ* om. C || **16** *τε* pro *δὲ* Bekk. || **20** *τὸ* add. Bekk. || **29** *ἀποφαίνων* LVr

τορος πανουργίαν τὰ [μὴ] δίκαια τοιαῦτα αὐτοῖς φαίνε-
77 σθαι· τῷ δὲ τοῦ ἰδιώτου ὡς ἀσθενεῖ πᾶς τις συναγωνί-
ζεται, καὶ τῷ ἧττον δικαίῳ προσδοξάζει τὸ μᾶλλον δί-
καιον διὰ τὸ ὑπὸ ἀφελοῦς καὶ ἰδιώτου κατασκευάζεσθαι.
5 παρ' ἣν αἰτίαν Ἀθηναίοις τὸ παλαιὸν οὐκ ἐπετέτραπτο 20
συνήγορον παρίστασθαι τοῖς κρινομένοις ἐπὶ τῆς· ἐν
Ἀρείῳ πάγῳ βουλῆς, ἀλλ' ἕκαστος ὡς εἶχε δυνάμεως,
ἀδιαστρόφως καὶ ἀπανούργως ὑπὲρ ἑαυτοῦ τοὺς λόγους
78 ἐποιεῖτο. καὶ μὴν εἴπερ ἐπίστευον αὐτοῖς οἱ ῥήτορες ὅτι
10 πειστικὴν ἔχουσι δύναμιν, ἐχρῆν αὐτοὺς μήτε ἔλεον μήτε 25
οἴκτους μήτε ὀργὰς ἢ ἄλλα τινὰ τοιαῦτα κινεῖν, ἅπερ
πείθει μὲν οὐδαμῶς, παραλογίζεται δὲ τὴν τῶν δικαστῶν
γνώμην καὶ ἀντισκοτεῖ τῷ δικαίῳ.

Ἀλλ' ὅτι μὲν οὐκ ἐνδέχεται τὸ πείθειν τέλος εἶναι ῥη- 30
79 τορικῆς, δέδεικται· τινὲς δὲ τοῦτο μὲν οὐ λέγουσιν αὐτῆς
16 τέλος, τὸ δὲ τοὺς ἐνδεχομένους εὑρεῖν λόγους· οἱ δὲ τὸ
δόξαν ἐμποιεῖν τοῖς δικασταῖς περὶ τῶν πραγμάτων | οἵαν 691
οἱ λέγοντες θέλουσιν, ἄλλοι δὲ τὸ συμφέρον, τινὲς δὲ τὸ
80 νικᾶν. ὧν πρὸς μὲν τοὺς πρώτους ῥητέον ὡς εἴπερ τοὺς
20 ἐνδεχομένους εἰς τὰς ὑποθέσεις λόγους εὑρεῖν ἐπαγγέλ-
λεται ἡ ῥητορική, ἤτοι τοὺς ἀληθεῖς ἢ δυνατοὺς ῥηθῆναι 5
ἐπαγγέλλεται. οὔτε δὲ τοὺς ἀληθεῖς· κανόνα γὰρ καὶ κρι-
τήριον τῆς τῶν ἀληθῶν καὶ ψευδῶν διαγνώσεως αὐτοὺς
ἔχειν δεῖ, ὅπερ οὐκ ἔχουσιν· οὔτε τοὺς δυνατοὺς ῥηθῆναι·
25 ἀγνοοῦντες γὰρ τοὺς ἀληθεῖς οὐδὲ τοὺς δυνατοὺς ῥηθῆναι
81 ἐπιγνώσονται. οὐκ ἄρα ῥητορικῆς ⟨τέλος⟩ ἐστι τὸ τοὺς 10
ἐνόντας καὶ δυνατοὺς εὑρίσκειν λόγους, ἥ τε ῥητορικὴ οὐ-
δὲν ἄλλο ἐστὶν ἢ τὸ τοὺς ἐνδεχομένους εὑρεῖν λόγους. ὅθεν ὁ
τοῦτο λέγων τέλος δυνάμει τὴν ῥητορικὴν τέλος εἶναι λέγει
82 τῆς ῥητορικῆς. οὗ τε χάριν ἅπαντά φησι πράσσειν ὁ ῥήτωρ,
31 ἐκεῖνο ἂν τέλος εἴη· οὐχὶ δέ γε χάριν τῶν ἐνδεχομένων 15

§ 79 cf. Quintil. inst. or. II 15, 3sqq.

1 μὴ delevi monente We. || 5 ⟨παρ'⟩ Ἀθηναίοις dub. Bekk. || 8 αὐτοῦ sive αὑτοῦ ς || 9 αὑτοῖς ELABC || 18 θέλωσιν ς || 25 οὔτε VC || 26 ⟨⟩ Theiler || 28 τὸ om. ς | ante ὅθεν lac. susp. Harder, ego malim 27 ante ἤ || 30 ἥ τε χάριν L || 31 ἐκεῖνο — p. 101, 1 ῥήτωρ om. L, al. man. in marg. suppl. | γε om. LVr

691

ἐπιχειρήσεων πάντα πράσσει ὁ ῥήτωρ, ἀλλὰ τοῦ μετὰ τὰς ἐπιχειρήσεις ἐπακολουθοῦντος· τοίνυν οὐκ ἂν εἴη τέλος ἐκεῖνο. καὶ μὴν οὗπερ δεῖται τέλους τυχεῖν ὁ 83 ῥήτωρ, τούτου καὶ ὁ μισθωσάμενος αὐτὸν ἰδιώτης· τοῦ
20 δέ γε τοὺς ἐνδεχομένους εὑρεῖν λόγους οὐ σπεύδει τυχεῖν 5 ὁ ἰδιώτης, ἀλλ' ἑτέρου τινός· ἐκεῖνο ἄρα τέλος γενήσεται, καὶ οὐ τὸ τοὺς ἐνδεχομένους λόγους εὑρεῖν. καὶ μὴν 84 οὐδὲ τὸ δόξαν ἐμποιεῖν τοῖς δικασταῖς περὶ τῶν πραγμάτων οἵαν οἱ λέγοντες θέλουσιν· τοῦτο γὰρ οὐ διήνεγκε τοῦ [μὴ] πείθειν, ἐπείπερ ὁ πεπεικὼς δόξαν ἐμπε- 10
25 ποίηκε τοῖς δικασταῖς περὶ τῶν πραγμάτων οἵαν οὗτος θέλει. ἐδείξαμεν (§ 60–71) δὲ ἡμεῖς ὅτι οὐκ ἔστι τῆς ῥητορικῆς τέλος τὸ πείθειν, ὥστε οὐδὲ τὸ δόξαν ἐμποιεῖν. ἀλλὰ μὴν οὐδὲ τὸ συμφέρον, ὡς ἠξιώκασί τινες· ὅ τι γὰρ 85 τοῦ μέρους ἐστὶ τέλος, τοῦτο οὐκ ἂν εἴη τοῦ ὅλου τέλος· 15
30 μέρους δέ γε τῆς ῥητορικῆς τοῦ συμβουλευτικοῦ τέλος λέγουσιν οἱ ῥήτορες εἶναι τὸ συμφέρον· οὐκ ἄρα τῆς ὅλης ῥητορικῆς ἐστι τέλος. ὅπερ τε πάσης τέχνης ἐστὶ τέλος |
692 κοινῶς, τοῦτο οὐκ ἂν εἴη τῆς ῥητορικῆς μόνης· τὸ συμφέρον δέ γε πάσης τέχνης ἐν τῷ βίῳ τέλος ἐστίν· οὐκ 20 ἄρα τῆς ῥητορικῆς ἰδιαίτερον καθέστηκεν. λείπεται οὖν 86
5 τὸ νικᾶν αὐτῆς εἶναι τέλος. ὃ πάλιν ἀδύνατόν ἐστιν. ὁ γὰρ πολλάκις μὴ τυγχάνων τοῦ κατὰ γραμματικὴν τέλους οὐκ ἂν εἴη γραμματικός, καὶ ὁ πολλάκις μὴ τυγχάνων τοῦ κατὰ μουσικὴν τέλους οὐκ ἂν εἴη μουσικός. τοίνυν 25 καὶ ὁ μὴ τυγχάνων πολλάκις τοῦ κατὰ ῥητορικὴν τέλους
10 οὐκ ἂν εἴη ῥήτωρ. ὁ δέ γε ῥήτωρ πλειονάκις ἢ νικᾷ 87 νικᾶται, καὶ τοσούτῳ πλεῖον ὅσῳ δυναμικώτερός ἐστι, τῶν τὰ ἄδικα ἐχόντων πράγματα ἐπ' αὐτὸν συντρεχόντων. οὐκ ἄρα ῥήτωρ ἐστὶν ὁ ῥήτωρ. ὅ τε μὴ τυχὼν τοῦ κατὰ 30

§ 85 cf. e. g. Philod. rhet. ed. Sudhaus II p. 107 fr. 15, 10 sqq.

**3** *ἔχειν* ED || **7** *οὐ τοῦ τοὺς* ς || **10** *μὴ* del. Bekk. sec. Herv. || **21** *δ' οὖν* ς || **22** *τέλος εἶναι* A || **27** *πλε ον μᾶλλον ὦ* G: corr. Bekk. sec. Herv. || **28** *τοσοῦτον πλείω* L: *τοσούτῳ μᾶλλον* dub. Bekk.: *τοσ. πλειονάκις* Bury || **29** *τῶν δὲ ἄδικα* A

692

ῥητορικὴν τέλους οὐκ ἂν ἐπαινοῖτο, ῥήτορα δὲ ἐνίοτε νικηθέντα ἐπαινοῦμεν· οὐκ ἄρα ῥητορικῆς τέλος ἐστὶ τὸ νικᾶν.

88 Ὥστε εἰ μήτε ὕλην ἔχει ἡ ῥητορικὴ περὶ ἣν τεχνιτεύει, μήτε τέλος ἐφ' ὃ ἀνάγεται, οὐκ ἂν ὑπάρχοι ἡ ῥη- 15
5 τορική. οὔτε δὲ ὕλην ἔχει οὔτε τέλος, καθὼς παρεστήσαμεν· οὐκ ἄρα ὑπάρχει ἡ ῥητορική.

89 Ἐναπορήσειε δ' ἄν τις αὐτοῖς καὶ ἀπὸ τῶν μερῶν αὐ- 20 τῆς. μέρη δὲ λέγουσι ῥητορικῆς τὸ δικανικόν τε καὶ συμβουλευτικὸν καὶ ἐγκωμιαστικόν, τούτων δὲ τοῦ μὲν δι-
10 κανικοῦ τέλος εἶναι τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ ἐγκωμιαστικοῦ τὸ καλόν. ὅπερ εὐ-
90 θέως ἄπορόν ἐστιν. εἴπερ γὰρ ἄλλο τι καθέστηκεν ἡ δικανικὴ ὑπόθεσις καὶ ἄλλο τι ἡ συμβουλευτικὴ καὶ οὐ 25 ταὐτὸν τῇ ἐγκωμιαστικῇ, πάντως τὸ τέλος τῆς δικανικῆς
15 οὐκ ἂν εἴη καὶ τῆς συμβουλευτικῆς τέλος, καὶ τὸ ταύτης οὐκ ἔσται τῆς ἐγκωμιαστικῆς, καὶ ἐναλλάξ. ἐπεὶ οὖν τῆς συμβουλευτικῆς τέλος ἐστὶ τὸ συμφέρον, οὐκ ἂν εἴη τοῦτο τῆς δικανικῆς τέλος. ἦν δέ γε τῆς δικανικῆς τέλος τὸ δί- 30
91 καιον· οὐκ ἄρα τὸ δίκαιόν ἐστι συμφέρον. καὶ πάλιν, |
20 ἐπεὶ ὡς τὰ μέρη ταῦτα διαφέρει ἀλλήλων, οὕτω καὶ τὰ 693 τέλη διοίσει, παρόσον τῆς ἐγκωμιαστικῆς τέλος ἐστὶ τὸ καλὸν ⟨τῆς δὲ δικανικῆς τὸ δίκαιον, οὐκ ἔσται δίκαιον τὸ καλὸν⟩ μὲν εἶναι καὶ τὸ δίκαιον καλόν· ὅπερ
92 ἄτοπον. καὶ μὴν εἰ τῆς ὅλης ῥητορικῆς τέλος ἐστὶ τὸ πεί-
25 θειν, τοῦ δὲ δικανικοῦ τὸ δίκαιον καὶ τοῦ συμβουλευτι- 5 κοῦ τὸ συμφέρον καὶ τοῦ ἐγκωμιαστικοῦ τὸ καλόν, οὐ πάντως τὸ δίκαιον ἔσται πιθανόν, οὐδὲ τὸ συμφέρον, οὐδὲ τὸ καλόν· ὅπερ μάχεται τῷ διὰ παντὸς τὴν ῥητορικὴν ἐφίεσθαι τοῦ πείθειν.

93 Ἄλλως τε ἐπὶ τοῦ δικανικοῦ ἤτοι διὰ δικαίων μόνον 10
31 λόγων ἕλξει τοὺς δικαστὰς ἐπὶ τὸ τέλος ἡ ῥητορικὴ ⟨ἢ διὰ τῶν ἀδίκων μόνον⟩ ἢ διὰ τῶν δικαίων ἅμα καὶ ἀδίκων. ἀλλ' εἰ μὲν διὰ τῶν δικαίων μόνον, ἀρετὴ γενήσεται·

2 ἐπαινεῖτο L || 4 ὑπάρχῃ^{οι} E: –χει D || 11 τὸ δὲ ἐγκ. L || 17 ἐστὶ om. LVr || 21 πλήροσον LVr || 22.23 suppl. Harder: aliter Bekk. sec. Herv. || 30 δικικοῦ LVr || 31.32 ⟨ἢ — μόνον⟩ supplevi

693
οὐχὶ δέ γε ἀρετή ἐστιν ἡ στοχαζομένη τῆς ὀχλικῆς πει-
15 θοῦς, ἐν ᾗ πολὺ τὸ εἰκαῖον καὶ ἐξαπατητικόν· οὐκ ἄρα
διὰ τῶν δικαίων μόνον ἐπὶ τὸ τέλος ἄγειν πέφυκε τοὺς
ἀκούοντας. εἶτα οὐδὲ συστήσεται ἐξ ἐναντίας λόγος ἀεί 94
ποτε τὸ δίκαιον ταύτης μεταδιωκούσης, τοῦ δ' ἐναντίου 5
μὴ ὄντος λόγου οὐδὲ ῥητορική τις γενήσεται, ὥστε οὐδὲ
20 ταύτῃ τοῖς δικαίοις μόνον χρήσεται λόγοις. καὶ μὴν οὐδὲ
τοῖς ἀδίκοις, ἐπεὶ ἄδικος γενήσεται, καὶ πάλιν τοῦ ἐν-
αντίου μὴ ὄντος λόγου ἀσύστατος ἔσται. λείπεται ἄρα
δι' ἀμφοτέρων αὐτὴν βαδίζειν· ὃ πολλῷ τῶν προτέρων 10
ἐστὶν ἀτοπώτερον· ἔσται γὰρ ἅμα ἀρετὴ καὶ κακία, ὃ
25 τῶν ἀδυνάτων καθέστηκεν. οὐ τοίνυν ῥητέον μέρος εἶναί
τι ῥητορικῆς δικανικὸν ὃ τέλος ἔχει τὸ δίκαιον.

Πρός γε μὴν τοῖς εἰρημένοις, εἴπερ ὑποδεῖξαι τὸ δί- 95
καιον τοῖς δικασταῖς ἐν τῷ δικανικῷ μέρει τῆς ῥητορικῆς 15
ὁ ῥήτωρ προτίθεται, ἤτοι αὐτόθεν φαινόμενόν ἐστι καὶ
30 ὁμόλογον τὸ δίκαιον ὅπερ ὑποδείκνυσιν, ἢ ἀμφισβητήσι-
μον. ἀλλὰ φαινόμενον μὲν οὐκ ἂν εἴποιεν· ἐπὶ τούτου |
694 γὰρ οὐ συνίσταται ὁ ῥητορικὸς λόγος, ἀναμφισβητήτου
καθεστῶτος. λείπεται οὖν τὸ ἀμφισβητήσιμον. ὃ πάλιν 96
ἐστὶν ἄπορον· τοσοῦτον γὰρ ἀπέχουσιν οἱ εἰς τοὐναντίον 21
ἐπιχειροῦντες τὴν ἀμφισβήτησιν λύειν ὡς καὶ ἐκ τῶν ἐν-
5 αντίων αὐτὴν ἐπισφίγγειν, ἐπιθολοῦντες τὴν τῶν δικα-
στῶν γνώμην. καὶ τούτου πίστις ἡ περὶ Κόρακος φερο-
μένη παρὰ τοῖς πολλοῖς ἱστορία. νεανίας γὰρ πόθῳ ῥη- 97
τορικῆς κατασχεθεὶς προσῆλθεν αὐτῷ τὸν ὁρισθησόμενον 26
ὑπ' αὐτοῦ μισθὸν δώσειν ἐπαγγελλόμενος, ἂν τὴν πρώ-
10 την νικήσῃ δίκην. συμφωνίας δὲ γενομένης, καὶ τοῦ μει-
ρακίου ἱκανὴν ἕξιν ἐμφαίνοντος ἤδη, ὁ μὲν Κόραξ ἀπήτει
τὸν μισθόν, ὁ δ' ἀντέλεγεν. ἀμφότεροι δὲ παρελθόντες 30
εἰς τὸ δικαστήριον ἐκρίνοντο, ὅτε καὶ πρῶτόν φασι τὸν

§ 96 *ἡ περὶ Κόρακος φερομένη ἱστορία*: eadem fabula de Protagora narratur a Diog. Laert. IX 56

**4** *ὁ δὲ* pro *οὐδὲ* LVr et exemplar Chouetorum in marg. | *λόγους* ς: ex contrariis orationibus Herv. || **8** *ἄδικος* Bekk.: *—κα* G || **16** *ἐστὶ φαινόμενον* ς

694

Κόρακα τοιαύτῃ τινὶ χρῆσθαι ἐπιχειρήσει, λέγοντα ὡς ἐάν τε νικήσῃ ἐάν τε μή, λαβεῖν ὀφείλει τὸν μισθόν, νι- 15 κήσας μὲν ὅτι ἐνίκησεν, λειφθεὶς δὲ κατὰ τὸν τῆς συμφωνίας λόγον· ὡμολόγησε γὰρ αὐτῷ ὁ ἀντίδικος ἀποδώσειν 5 τὸν μισθὸν ἐὰν τὴν πρώτην νικήσῃ δίκην, ἣν αὐτόθεν νι- 98 κήσας ὀφείλει τὴν ὑπόσχεσιν χρεολυτεῖν. θορυβησάντων δὲ τῶν δικαστῶν ὡς δίκαια λέγοντος αὐτοῦ, παραλαβὼν 20 τοὺς λόγους ὁ νεανίας τῷ αὐτῷ ἐπιχειρήματι, μηδὲν μεταθείς, ἐχρῆτο· 'ἐάν τε' γὰρ 'νικήσω' φησὶν 'ἐάν τε 10 νικηθῶ, οὐκ ὀφείλω τὸν μισθὸν ἀποδοῦναι Κόρακι, νική- σας μὲν ὅτι ἐνίκησα, λειφθεὶς δὲ κατὰ τὸν τῆς συμφωνίας λόγον· ὑπεσχόμην γὰρ ἀποδώσειν τὸν μισθὸν ἐὰν τὴν 25 99 πρώτην νικήσω δίκην, λειφθεὶς δὲ οὐκ ἀποδώσω.' εἰς ἐποχὴν δὴ καὶ ἀπορίαν ἐλθόντες οἱ δικασταὶ διὰ τὴν ἰσο- 15 σθένειαν τῶν ῥητορικῶν λόγων ἀμφοτέρους ἐξέβαλον τοῦ δικαστηρίου, ἐπιφωνήσαντες τὸ 'ἐκ κακοῦ κόρακος κακὸν ᾠόν.'

100 Οἷος δέ ἐστιν ὁ περὶ τοῦ δικανικοῦ μέρους λόγος, 30 τοιοῦτος γένοιτ' ἂν καὶ ὁ περὶ τοῦ συμβουλευτικοῦ, ἵνα 20 μὴ μακρηγορῶμεν. τὸ μὲν γὰρ ἐγκωμιαστικόν, σὺν τῷ | ταῖς αὐταῖς ἀπορίαις ὑπάγεσθαι, ἔτι καὶ ἀμέθοδόν ἐστιν. 695 101 ἐπεὶ γὰρ οὔτε πάντες ἄ θρωποι ἐγκωμιάζεσθαι θέλουσιν οὔτε ἐπὶ τοῖς αὐτοῖς, δεῖ τὸν μέλλοντα καλῶς ἐγκωμιά- ζειν εἰδέναι τὴν τοῦ ἐγκωμιαζομένου διάθεσιν· οὐ πᾶν 25 δέ γε τὸ καθ' ἕτερον κίνημα ληπτ[έ]όν ἐστιν ἑτέρῳ. καὶ 5 ἄλλως οἱ ῥήτορες οὐ παραδεδώκασί τινα μέθοδον δι' ἧς εἰσόμεθα τὸ πότε καὶ τίνα ἐγκωμιαστέον ἐστίν· οὐκ ἄρα 102 δυνατὸν ἀπὸ ῥητορικῆς ὑγιῶς ἐγκωμιάζειν. ἤτοι δὲ ἐπὶ τοῖς μὴ οὖσιν ἀγαθοῖς δοκοῦσι δὲ εἶναι, ἢ ἐπὶ τοῖς κατ' 30 ἀλήθειαν οὖσιν ἐγκωμιάσει ὁ ῥήτωρ. οὔτε δὲ ἐπὶ τοῖς μὴ 10 οὖσι, προσδιαφθείρει γὰρ τοὺς ἐγκωμιαζομένους, οὔτε ἐπὶ τοῖς οὖσιν· ἀγνοεῖ γὰρ ταῦτα, ὅτε καὶ τοῖς φιλοσό- φοις διὰ τὴν ἀνεπίκριτον περὶ αὐτῶν μάχην ἐστὶν ἀκατά- 103 ληπτα. οὐκ ἄρα δύναταί τινα ἐγκωμιάζειν ὁ ῥήτωρ. οἵ τε

3 τῆς om. LVr || 6 χρεωλυτεῖν Bekk. || 14 δὴ Harder: δὲ G || 15 ἐξέβαλλον EDLVr || 25 ληπτόν ci. Bekk. || 28 δέ G: τε ci. Bekk.

695
15 μὴ εἰδότες ἐφ' οἷς ἐγκωμιαστέον ἐστὶν οὐδὲ ἐγκωμιάζειν δύνανται· οἵ δέ γε ῥήτορες οὐκ ἴσασιν ἐφ' οἷς ἐγκωμιάζειν δεῖ, καθὼς παραστήσομεν· τοίνυν οὐδὲ ἐγκωμιάζειν δυνήσονται. ἐγκωμιαστέον γάρ φασιν ἀπὸ γένους τε καὶ κάλλους καὶ πλούτου καὶ πολυτεκνίας καὶ τῶν ἐοικότων, 5
20 ἀνάπαλίν τε ψεκτέον ἀπὸ δυσγενείας καὶ δυσμορφίας καὶ πενιχρότητος. ὅπερ εὔηθες· δεῖ γὰρ ἡμᾶς ἀπὸ τῶν παρ' 104 ἡμᾶς γινομένων τοὺς ἐπαίνους ἕλκειν καὶ ψόγους, εὐγένεια δὲ καὶ εὐτυχία κάλλος τε καὶ πολυτεκνία καὶ τὰ τοιαῦτα οὐκ ἔστι παρ' ἡμᾶς γινόμενα, ὥστε οὐκ ἐπαινε- 10
25 τέον ἀπ' αὐτῶν, ἐπεί τοί γε εἰ ψιλῶς ἐπαινετέον τὴν εὐγένειάν ἐστι καὶ πολυτεκνίαν καὶ πᾶν τοιουτῶδες, ἐπαινετέος καὶ Βούσιρις καὶ Ἄμυκος καὶ Ἀνταῖος οἱ ξενοκτόνοι, ὅτι Ποσειδῶνος ἦσαν υἱεῖς, ἐπαινετὴ δὲ καὶ ἡ Νιόβη, ὅτι πολύτεκνος. ἐναντίως τε εἰ ἡ ἀμορφία καὶ 105
30 πενία ψεκτόν, ψεκτέος μὲν Ὀδυσσεύς, ὅτι χερνήτου λα- 15 βὼν σχῆμα (δ 246)

ἀνδρῶν δυσμενέων κατέδυ πόλιν,

ψεκτὸς δὲ ὁ Διὸς Περσεύς, ὅτι πήραν περιηρτημένος τὴν |
696 ἄνυδρον ὥδευε Λιβύην, καὶ Ἡρακλῆς, ὅτι λεοντῆν καὶ 20 ξύλον ἐπὶ τοὺς ἄθλους ἐπήγετο.

Συνελόντι δὲ φάναι, δεδόσθω ταῦτα μέρη εἶναι τῆς 106 ῥητορικῆς. ἀλλ' ἐπεὶ τὸ δίκαιον, ὅτι ἐστὶ δίκαιον, καὶ τὸ
5 συμφέρον, ὅτι ἐστὶ συμφέρον, καὶ τὸ καλόν, ὅτι ἐστὶ καλόν, ἀποδείξει παρίσταται, καὶ οὐδέν ἐστιν ἡ ἀπόδειξις, 25 οὐδὲ ῥητορική τι γενήσεται ἡ ἐπὶ τοιούτοις μέρεσι συνεστῶσα. ὅτι δὲ οὐδέν ἐστιν ἀπόδειξις, ἀκριβέστερον μὲν δείκνυται ἐν τοῖς σκεπτικοῖς ὑπομνήμασιν (PH II 172
10 sqq.), ὑπομνηστικώτερον δὲ καὶ νῦν παρασταθήσεται. εἰ 107 γὰρ μηδὲν ὁ λόγος, οὐδὲ ἡ ἀπόδειξίς ἐστι, ποιὸς λόγος 30 οὖσα· οὐδὲν δέ γέ ἐστι λόγος, ὡς παρεστήσαμεν, διὰ τὸ μήτε ἐν φωναῖς μήτε ἐν ἀσωμάτοις λεκτοῖς ἔχειν τὴν

**4** τε om. ς || **7** ἀπὸ om. LVrD || **13** βούσιρος L | ξενοκτῶνοι ED || **16** ἡ πενία ς edd. || **19** ψεκτέος ci. Bekk. || **26** τι om. VC || **28** δέδεικται dub. Haas, Progr. Freising 1883, 10 || **31** γε om. EDVC

108 ὑπόστασιν· οὐδὲ ἀπόδειξις ἄρα ἔστιν. ἄλλως τε, εἰ ἔστιν,
ἤτοι ἐναργὴς καθέστηκεν ἢ ἄδηλος. οὔτε δὲ ἐναργής ἐστιν· 15
ἄδηλον γάρ τι περιέσχηκε, καὶ διὰ τοῦτό ἐστι διάφωνος,
παντὸς τοῦ διαφωνουμένου πράγματος ἀδήλου τυγχά-
109 νοντος. λείπεται ἄρα ἄδηλον αὐτὴν εἶναι. ἀλλ' εἰ τοῦτο,
5 ἤτοι αὐτόθεν ληφθήσεται ἢ ἐξ ἀποδείξεως. οὔτε δὲ αὐ-
τόθεν ληπτή ἐστιν (ἄδηλος γὰρ ἦν, τὸ δὲ ἄδηλον αὐτόθεν 20
λαμβανόμενον ἄπιστον) οὔτε ἐξ ἀποδείξεως διὰ τὴν εἰς
110 ἄπειρον ἔκπτωσιν· οὐκ ἄρα τίς ἐστιν ἀπόδειξις. μὴ οὔσης
10 δὲ γενικῆς ἀποδείξεως οὐδὲ εἰδική τις ἔσται ἀπόδειξις,
ὥσπερ καὶ μὴ ὄντος ζῴου οὐδὲ ἄνθρωπος ἔστιν· γενικὴ
δέ γε ἀπόδειξις οὐκ ἔστιν, ὡς παραστήσομεν· τοίνυν 25
οὐδὲ ἄλλη τις γενήσεται τῶν ἐπ' εἴδους. ἐπεὶ γὰρ ἄδηλός
ἐστιν, ὡς προεπελογισάμεθα, ὀφείλει διά τινος καταστῆ-
15 ναι. διὰ τίνος οὖν; ἤτοι γὰρ διὰ γενικῆς ἢ εἰδικῆς ἀπο-
111 δείξεως. οὔτε δὲ διὰ εἰδικῆς διὰ τὸ μήπω βέβαιον εἶναι
τὴν τῆς γενικῆς ὕπαρξιν, οὔτε διὰ γενικῆς· αὕτη γάρ 30
ἐστιν ἡ ἀμφισβητουμένη. οὐ τοίνυν ἔστι τις γενικὴ ἀπό-
δειξις. ᾧ ἕπεται τὸ μηδὲ τὴν εἰδικὴν ὑπάρχειν. καὶ ἄλλως,
20 ἡ γενικὴ ἀπό|δειξις εἰ μὲν λήμματά τινα ἔχει καὶ ἐπι- 697
φοράν, οὐδὲ γενική ἐστιν, εἰ δὲ οὐκ ἔχει, οὐδὲ κατα-
112 σκευάσει τι, πολὺ δὲ μᾶλλον οὐδὲ τὴν ἑαυτῆς ὕπαρξιν. ἥ
τε τὴν ἀπόδειξιν πιστουμένη ἀπόδειξις ἤτοι ζητεῖται ἢ
ἀζήτητός ἐστιν. ἀλλ' ἀζήτητος μὲν οὐκ ἂν εἴη διὰ τὰς 5
25 ἔμπροσθεν εἰρημένας αἰτίας, ζητουμένη δὲ ὀφείλει ὑπ'
ἄλλης κατασκευάζεσθαι, κἀκείνη πάλιν ὑπ' ἄλλης, καὶ
τοῦτο εἰς ἄπειρον. οὐκ ἄρα ἔστι τις ἀπόδειξις.

113 Ἀλλὰ γὰρ καὶ πρὸς τὰ συνέχοντα θεωρήματα τῆς ῥη- 10
τορικῆς ἀντειπόντες ἀπ' ἄλλης ἀρχῆς καὶ τῶν πρὸς τοὺς
30 γεωμέτρας καὶ ἀριθμητικοὺς ἀποριῶν ἁπτώμεθα.

§ **109** *εἰς ἄπειρον ἔκπτωσιν*: quinque e modis secundus, cf. PH I 166 || **109—110** ~ M VIII 340—341. 343 || **112** ~ M VIII 347

**10** *τε* pro *δὲ* ci. Bekk. || **12** *παρεστήσαμεν* G: corr. Bekk.

## ΠΡΟΣ ΓΕΩΜΕΤΡΑΣ

697 Ἐπεὶ οἱ γεωμέτραι συνορῶντες τὸ πλῆθος τῶν ἐπακολουθούντων αὐτοῖς ἀποριῶν εἰς ἀκίνδυνον εἶναι δοκοῦν 15 καὶ ἀσφαλὲς πρᾶγμα καταφεύγουσι, τὸ ἐξ ὑποθέσεως αἰτεῖσθαι τὰς τῆς γεωμετρίας ἀρχάς, καλῶς ἂν ἔχοι καὶ ἡμᾶς τῆς πρὸς αὐτοὺς ἀντιρρήσεως ἀρχὴν τίθεσθαι τὸν 5 περὶ τῆς ὑποθέσεως λόγον. καὶ γὰρ ὁ Τίμων (B 75 Diels 2 PPF) ἐν τοῖς πρὸς τοὺς φυσικοὺς τοῦτο ὑπέλαβε δεῖν ἐν 20 πρώτοις ζητεῖν, φημὶ δὲ τὸ εἰ ἐξ ὑποθέσεώς τι ληπτέον. διόπερ καὶ ἡμᾶς οἰκεῖόν ἐστιν ἐκείνῳ στοιχοῦντας τὸ παραπλήσιον ποιεῖν ἐν τῇ πρὸς τοὺς ἀπὸ τῶν μαθημάτων 10 διεξόδῳ. τάξεως δὲ ἕνεκα προληπτέον ὅτι πολλαχῶς μὲν 3 καὶ ἄλλως ὑπόθεσις προσαγορεύεται, τὰ νῦν δὲ ἀπαρκέσει 25 τριχῶς λέγεσθαι, καθ' ἕνα μὲν τρόπον ἡ δραματικὴ περιπέτεια, καθὸ καὶ τραγικὴν καὶ κωμικὴν ὑπόθεσιν εἶναι λέγομεν καὶ Δικαιάρχου τινὰς ὑποθέσεις τῶν Εὐριπίδου 15 καὶ Σοφοκλέους μύθων, οὐκ ἄλλο τι καλοῦντες ὑπόθεσιν ἢ τὴν τοῦ δράματος περιπέτειαν. καθ' ἕτερον δὲ σημαι- 4 30 νόμενον ὑπόθεσις προσαγορεύεται ἐν ῥητορικῇ ⟨ἡ⟩ τῶν ἐπὶ μέρους ζήτησις, καθὸ καὶ οἱ σοφισταὶ πολλάκις εἰώ- 698 θασιν ἐν ταῖς διατρι|βαῖς λέγειν 'θετέον ὑπόθεσιν.' οὐ 20 μὴν ἀλλὰ καὶ κατὰ τρίτην ἐπιβολὴν ὑπόθεσιν καλοῦμεν ἀρχὴν ἀποδείξεως, αἴτησιν οὖσαν πράγματος εἰς κατασκευήν τινος. οὕτω γοῦν τρισὶν ὑποθέσεσι κεχρῆσθαί 5 5 φαμεν τὸν Ἀσκληπιάδην εἰς κατασκευὴν τῆς τὸν πυρετὸν

§ 5 cf. e. g. Caelius Aurelianus, celerum passionum l. I, 8. I 106 sq.

2 ἀπόρων dub. Bekk. || 9 ἐκεῖνο ς || 18 ἡ add. Bekk. || 20 θέτε LVr, in marg. θετέον γ L || 21 καὶ om. LVr || 22 ἀποδείξεων G: corr. Harder cl. p. 108, 12

ἐμποιούσης ἐνστάσεως, μιᾷ μὲν ὅτι νοητοί τινές εἰσιν ἐν ἡμῖν πόροι, μεγέθει διαφέροντες ἀλλήλων, δευτέρᾳ δὲ ὅτι πάντοθεν ὑγροῦ μέρη καὶ πνεύματος ἐκ λόγῳ θεωρητῶν ὄγκων συνηράνισται δι' αἰῶνος ἀνηρεμήτων, τρίτῃ
5 δὲ ὅτι ἀδιάλειπτοί τινες εἰς τὸ ἐκτὸς ἐξ ἡμῶν ἀποφοραὶ 10 γίνονται, ποτὲ μὲν πλείους ποτὲ δὲ ἐλάττους πρὸς τὴν ἐνεστηκυῖαν περίστασιν.

6 Ἀλλὰ γὰρ τοσαυταχῶς νοουμένης [τὰ νῦν] τῆς ὑποθέσεως, πρόκειται τὰ νῦν ζητεῖν οὐ μὰ Δία περὶ τῆς δρα-
10 ματικῆς διατάξεως, οὐδὲ περὶ τῆς παρὰ τοῖς ῥήτορσι ζητήσεως, ἀλλὰ περὶ τῆς ἐν τέλει λεχθείσης ὑποθέσεως, 15 ἣν ἀρχὴν ἀποδείξεως συμβέβηκεν εἶναι· ταύτην γὰρ καὶ οἱ γεωμέτραι λαμβάνουσι τὴν ὑπόθεσιν, βουλόμενοί τι
7 γεωμετρικῶς ἀποδεῖξαι. διόπερ εὐθὺς ῥητέον ὅτι καὶ ἐπεὶ
15 οἱ ἐξ ὑποθέσεως λαμβάνοντές τι καὶ χωρὶς ἀποδείξεως ψιλῇ μόνον ἀρκοῦνται φάσει πρὸς τὴν ταύτης πίστιν, 20 πεύσεταί τις αὐτῶν τοιούτῳ τινὶ χρώμενος ἐπιλογισμῷ.
8 ἤτοι ἰσχυρόν ἐστι καὶ βέβαιον πρὸς πίστιν τὸ ἐξ ὑποθέσεώς τι λαβεῖν ἢ ἄπιστόν τε καὶ ἀσθενές. ἀλλ' εἰ μὲν
20 ἰσχυρόν, καὶ τὸ ἀντικείμενον ἐξ ὑποθέσεως ληφθὲν πιστὸν γενήσεται καὶ βέβαιον, ὥστε θήσομεν τὰ μαχόμενα. 25 εἰ δὲ ἐπὶ τοῦ τὸ ἐναντίον ἐξ ὑποθέσεως λαμβάνοντος χωρὶς ἀποδείξεως ἄπιστόν ἐστιν ἡ ὑπόθεσις, ἄπιστος γενήσεται καὶ ἐπ' ἐκείνου, ὥστε οὐδέτερον αὐτῶν θήσομεν. οὐ τοίνυν
9 ληπτέον ἐστὶν ἐξ ὑποθέσεώς τι. καὶ μὴν τὸ ὑποτιθέμενον 30
25 πρᾶγμα ἤτοι ἀληθές ἐστι καὶ τοιοῦτον ὁποῖον αὐτὸ ὑποτιθέμεθα ἢ ψεῦδος. ἀλλ' εἰ μὲν ἀληθές ἐστι, μηδὲ αἰτώμεθα αὐτό, εἰς πρᾶγμα ὑποψίας πλῆρες κατα|φεύγοντες, 699 τὴν ὑπόθεσιν, ἀλλ' αὐτόθεν λαμβάνωμεν, ἐπείπερ οὐθεὶς
30 τἀληθῆ καὶ ὄντα ὑποτίθεται, καθάπερ οὐδὲ τὸ νῦν ἡμέραν εἶναι ἢ ἐμὲ διαλέγεσθαι καὶ ἀναπνεῖν· ἡ γὰρ περιφάνεια

§ 6 *ὑποθέσεως* def. Proclus in Eucl. el. I comm. p. 76 Friedlein || 8 cf. M VIII 370 || 9—10 ∼ M VIII 371

**1.2.4.** numeri *α, β, γ* in marg. L || **3** *μέρει* G: corr. Fabr. || **5** *ἀδιάληπτοί* E || **8** [ ] delevi || **19** *ἄπιστόν τι καὶ* G: corr. Bekk. || **23** *ἡ* om. LVr

699
5 τούτων τῶν πραγμάτων αὐτόθεν βέβαιον ἔχει τὴν θέσιν καὶ οὐ δισταζομένην τὴν ὑπόθεσιν. ὥστε εἰ ἀληθές ἐστι τὸ πρᾶγμα, μηδὲ αἰτώμεθα αὐτὸ ὡς μὴ ὂν ἀληθές. εἰ δ' 10 οὐκ ἔστι τοιοῦτο ἀλλὰ ψεῦδος καθέστηκεν, οὐδὲν ὄφελος ἀνακύψει ἐκ τῆς ὑποθέσεως· κἂν γὰρ μυριάκις αὐτὸ ὑπο- 5
10 τιθώμεθα, σαθροῖς, ὥς φασι, θεμελίοις [οὐκ] ἀκολουθή-σει τὸ συμπέρασμα τῆς ζητήσεως ἐξ ἀνυπάρκτων ὁρμω-μένης ἀρχῶν. οὐ μὴν ἀλλ' εἴ τις οἷς ἂν ὑποθῆται, τού- 11 τοις τὰ ἀκολουθοῦντα πιστὰ τυγχάνειν ἀξιώσει, μήποτε πᾶσαν ἀναιρεῖ ζήτησιν. εὐθέως γὰρ ὑποθήσεται ἕκαστος 10
15 ἡμῶν τὸ τὰ τρία τέσσαρα εἶναι, καὶ τούτου δοθέντος συν-άξει ὅτι καὶ τὰ ἓξ ὀκτώ ἐστιν· εἰ γὰρ τὰ τρία τέσσαρά ἐστι, τὰ ἓξ ὀκτὼ γενήσεται· ἀλλὰ μὴν τὰ τρία τέσσαρά ἐστιν, ὡς ἡ ὑπόθεσις δίδωσιν· τὰ ἄρα ἓξ ὀκτώ ἐστιν. πάλιν τε αἰτήσομεν ὅτι μένει τὸ κινούμενον, καὶ συγχω- 12
20 ρηθέντος τοῦ πράγματος συνάξομεν ὅτι ἡ φλὸξ ἠρεμεῖ· εἰ 16 γὰρ τὸ κινούμενον μένει, ἡ φλὸξ ἠρεμεῖ· τὸ δέ γε κινούμενον μένει, ⟨ὡς ἡ ὑπόθεσις δίδωσιν·⟩ ἡ ἄρα φλὸξ ἠρεμεῖ. ἀλλ' ὃν τρόπον οἱ γεωμέτραι ἀτόπους ἐροῦσιν εἶναι ταύτας τὰς ὑποθέσεις (βέβαιον γὰρ εἶναι δεῖ τὸν 20 θεμέλιον, ἵνα συνομολογηθῇ καὶ τὸ ἀκόλουθον), οὕτω καὶ
25 ἡμεῖς πάντα τὰ ὑποθετικῶς αὐτοῖς λαμβανόμενα οὐ προσ-ησόμεθα χωρὶς ἀποδείξεως. ἄλλως τε, εἰ βέβαιόν ἐστι 13 καὶ πιστὸν τὸ ὑποτιθέμενον ᾗ ὑποτίθεται, μὴ ταῦτα ὑπο-τιθέσθωσαν ἐξ ὧν ἀποδείξουσί τι, ἀλλ' αὐτὸ τὸ ἀποδεικ- 25
30 νύμενον, τουτέστι μὴ τὰ λήμματα τῆς ἀποδείξεως ἀλλὰ τὴν ἐπιφοράν· ὃ γὰρ δύναται πρὸς πίστιν αὐτοῖς ἐπὶ τῶν ἐκκαλυπτόντων ἡ ὑπόθεσις, τοῦτο δυνήσεται καὶ ἐπὶ τῶν
700 ἐκκαλυπτομένων ἐκ τῆς ἀποδείξεως πραγμάτων. | εἰ δ' ἄπιστόν ἐστι, κἂν πολλάκις ὑποτεθῇ, τὸ τῆς ἀποδείξεως 30

**§ 10** *σαθροῖς θεμελίοις* cf. Lucian. Hermotim. 74 (vol. I, 384 Jacobitz) || **11** ~ M VIII 372 || **12** ~ M VIII 373 || **13** ~ M VIII 374

**6** *οὐκ* del. Heintz || **10** *ἀναιρῇ* ς || **16** *εἰ* — 18.19 *ἄρα φλὸξ ἠρεμεῖ* om. E || **18** addidi || **20** *εἶναι δεῖ* ELVr Gen.: *εἶναι δεῖν* Herv. Bekk.: *εἶναι δοκεῖ δεῖν* ς || **22** *προησόμεθα* ELVr AB || **29** *ὑπο-δείξεως* C || **30** *ὑπετέθη* G: corr. Bekk.

συμπέρασμα χωρὶς ἀποδείξεως, ἄπιστον γενήσεται καὶ
τὸ εἰς κατασκευὴν τούτου λαμβανόμενον, εἰ μὴ δι' ἀπο-
14 δείξεως διδάσκοιτο. νὴ Δί', ἀλλ' εἴπερ, φασί, τὸ ἀκολου- 5
θοῦν ταῖς ὑποθέσεσιν ἀληθὲς εὑρίσκεται, πάντως καὶ τὰ
5 ὑποτεθέντα, τουτέστιν οἷς ἐπηκολούθησεν, ἀληθῆ γενή-
σεται. ὃ πάλιν ἐστὶν εὔηθες· πόθεν γὰρ ὅτι τὸ ἀκολου-
θοῦν τισιν ἐν ἀποδείξει πάντως ἀληθές ἐστιν; ἢ γὰρ ἐξ
αὐτοῦ μαθόντες ἐκείνου τοῦτ' ἐροῦσιν, ἢ ἐκ τῶν οἷς ἠκο- 10
15 λούθησε λημμάτων. ἀλλ' ἐξ αὐτοῦ μὲν οὐκ ἂν εἴποιεν.
10 ἄδηλον γάρ ἐστι, τὸ δὲ ἄδηλον ἐξ αὐτοῦ πιστὸν οὐκ ἔστιν·
ἀποδεικνύναι γοῦν τοῦτο ἐπιβάλλονται ὡς μὴ ἐν αὐτῷ
τὴν πίστιν ἔχον. καὶ μὴν οὐδ' ἐκ τῶν λημμάτων· περὶ
γὰρ τούτων ἐστὶν ἡ πᾶσα διαμάχη, καὶ μηδέπω αὐτῶν 15
πεπιστευμένων οὐδὲ τὸ ἀποδεικνύμενον ἐξ αὐτῶν βέβαιον
16 εἶναι δύναται. ἔτι οὐδ' ἂν τὸ λῆγον ᾖ ἀληθές, εὐθὺς καὶ
16 τὸ ἡγούμενόν ἐστι τοιοῦτον. ὥσπερ γὰρ τῷ ἀληθεῖ πέ-
φυκεν ἀληθὲς ἐπακολουθεῖν καὶ ψεύδει ψεῦδος, οὕτως
ἠξίωται καὶ ψεύδει ἀληθὲς συνεισάγεσθαι, καθάπερ [ἐν] 20
τῷ πέτασθαι τὴν γῆν, ψεύδει ὄντι, τὸ εἶναι τὴν γῆν ἀλη-
17 θὲς ὑπάρχον εἵπετο. ὅθεν οὐκ εἰ τὸ λῆγόν ἐστιν ἀληθές,
21 πάντως καὶ τὸ ἡγούμενον ἀληθές, ἀλλ' ἐνδέχεται τοῦ
λήγοντος ἀληθοῦς ὄντος τὸ ἡγούμενον ὑπάρχειν ψεῦδος.
Καὶ δὴ ὅτι μὲν οὐκ εὖ ποιοῦσιν οἱ ἀπὸ τῶν μαθημά- 25
των ἐξ ὑποθέσεως λαμβάνοντες τὰς ἀρχὰς τῆς ἀποδεί-
25 ξεως καὶ ἑκάστου θεωρήματος, ἐπιφθεγγόμενοι τὸ 'δεδό-
18 σθω', διὰ τούτων αὐτάρκως κατεσκεύασται· μετελθόντες
δὲ ἑξῆς διδάσκωμεν ὅτι ψευδεῖς καὶ ἀπιθάνους αὐτῶν
συμβέβηκεν εἶναι τὰς ἀρχὰς τῆς τέχνης. καὶ δὴ πολλῶν 30

§ 14 ∼ M VIII 375 || 15 ∼ M VIII 376 || 16 ∼ M VIII 377 | in marg. codd. haec figura ( ὄν / πετόμενον / γῆ ) || 17 ∼ M VIII 378 ||

8 ἐξ ὧν G: sec. Herv. corr. Bekk. || 10 ἐξ αὐτοῦ τοῦ π. LVr: ἐξ αὐτοῦ cett. || 14 πεπιστωμένων dub. Bekk. Bury || 18 [ ] Bekk. || 25 ἐπιδεδόσθω VC

700
*εἰς τοῦτο δυναμένων λέγεσθαι, ὡς ἐναρχόμενοι τῆς ὑφη-*
701 *γήσεως εἴπομεν, τούτοις προσαχθήσεται τὰ τῆς ἀπορίας |*
*ὧν ἀναιρουμένων καὶ τὰ λοιπὰ συναναιρεθήσεται. ἐπεὶ*
*οὖν τῶν ἀρχῶν διαβληθεισῶν οὐδὲ αἱ κατὰ μέρος ἀπο-*
*δείξεις αὐτοῖς δύνανται προκόπτειν, λέγωμεν τὰ ἁρμό-* 5
*ζοντα πρὸς τὰς ἀρχάς.*

5 *Εὐθέως τοίνυν ὡς πρῶτόν τι καὶ στοιχειωδέστατον δι-* 19
*δάσκουσιν ἡμᾶς ὅτι σῶμα μέν ἐστι τὸ τὰς τρεῖς ἔχον*
*διαστάσεις, μῆκος πλάτος βάθος, ὧν πρώτη μὲν διάστα-*
*σίς ἐστιν ἡ κατὰ μῆκος ἄνωθεν κάτω, δευτέρα δὲ ἡ κατὰ* 10
*πλάτος ἀπὸ δεξιῶν ἐπ' ἀριστερά, τρίτη δὲ ἡ κατὰ βάθος*
10 *ἀπὸ τῶν πρόσω εἰς τοὐπίσω. ὥστε ⟨ὄν⟩των τριῶν τούτων ἓξ*
*γίνεσθαι παρατάσεις, δύο καθ' ἑκάστην, τῆς μὲν πρώτης*
*τὴν ἄνω καὶ κάτω, τῆς δὲ δευτέρας τὴν ἐν ἀριστερᾷ καὶ*
*ἐν δεξιᾷ, τῆς δὲ τρίτης τὴν πρόσω καὶ ὀπίσω.* 15

*Στιγμῆς μὲν γὰρ ῥυείσης γραμμὴν γίνεσθαί φασι, γραμ-*
15 *μῆς δ' ἐπιφάνειαν, ἐπιφανείας δὲ στερεὸν σῶμα. παρὸ* 20
*καὶ ὑπογράφοντες λέγουσι στιγμὴν μὲν εἶναι σημεῖον ἀμε-*
*ρὲς καὶ ἀδιάστατον ἢ πέρας γραμμῆς, γραμμὴν δὲ μῆκος*
*ἀπλατὲς ἢ πέρας ἐπιφανείας, ἐπιφάνειαν δὲ πέρας σώ-* 20
*ματος ἢ πλάτος ἀβαθές. τάξει οὖν ἀναλαβόντες περὶ στιγ-* 21
20 *μῆς λέγωμεν πρῶτον, εἶτα περὶ γραμμῆς, τὸ δὲ μετὰ*
*τοῦτο περὶ ἐπιφανείας καὶ σώματος· τούτων γὰρ ἀναι-*
*ρουμένων οὐδ' ἡ γεωμετρία γενήσεται τέχνη, μὴ ἔχουσα*
*τὰ ἐφ' οἷς ἡ σύστασις αὐτῆς δοκεῖ προκόπτειν.* 25

*Ἡ τοίνυν στιγμή, ἥν φασι σημεῖον ἀδιάστατον ὑπ-* 22
25 *άρχειν, ἤτοι σῶμα νοεῖται ἢ ἀσώματον. καὶ σῶμα μὲν*

**§ 18** *ἐναρχόμενοι τῆς ὑφηγ. εἰπ.* argumentum libri confusum esse et hic locum 10, 23 commemorari ostendit Heintz p. 270 || **19** ~ M IX 367 | *σῶμα μέν ἐστι* Eucl. el. XI def. 1 | *στιγμῆς ῥυείσης* cf. schol. in Euclid. el. I p. 78, 15 vol. 5 Heiberg || **20** *πέρας σώμ.* Eucl. el. XI def. 2. I def. 2–3 || **22** ~ M IX 377–378 | *φασι* schol. in Eucl. el. I p. 75, 23 Heiberg vol. 5

**7** *στοχειωδέστατον* ς edd. || **12** *τῶν τριῶν* G: ex his Herv.: ⟨ ⟩ Harder || **13** *διαστάσεις* G: corr. Bekk. cl. p. *463, 6* (p. II 288 Mutschmann), ubi coniectura codice N affirmatur || **15** lacunosa argumentorum series iis, quae leguntur M IX 368–376, suppletur || **18** *μὲν* om. VC

701

οὐκ ἂν εἴη κατ' αὐτούς· τὰ γὰρ μὴ ἔχοντα διάστασιν οὐκ ἦν σώματα. λείπεται οὖν ἀσώματον αὐτὴν ὑπάρχειν, ὃ πάλιν ἐστὶν ἀπίθανον. τὸ μὲν γὰρ ἀσώματον οὐδενὸς νοεῖται γεννητικὸν ὡσανεὶ ἀθιγὲς καθεστώς, ἡ δὲ στιγμὴ 30
5 νοεῖται τῆς γραμμῆς γεννητική· οὐ τοίνυν ἐστὶ σημεῖον
23 ἀδιάστατον ἡ στιγμή. καὶ μὴν εἴπερ (Anaxag. fr. B 21a Diels) ὄψις τῶν ἀδήλων ἐστὶ τὰ φαινόμενα, ἐπεὶ οὐ δυνατὸν ἐν τοῖς φαινομένοις | λαβεῖν τινος σημεῖον καὶ 702 πέρας ἀδιάστατον, δῆλον ὡς οὐδ' ἐν τοῖς νοητοῖς ληφθή-
10 σεταί τι τοιοῦτον. ἐν δέ γε τοῖς αἰσθητοῖς οὐδὲν ἔστιν ἀδιάστατον λαβεῖν, ὡς παραστήσω· ὥστ' οὐδ' ἐν τοῖς
24 νοητοῖς. πᾶν τοίνυν τὸ ἐν τοῖς αἰσθητοῖς ὑποπῖπτόν τινος 5 πέρας καὶ σημεῖον σὺν τούτῳ καταλαμβάνεταί τινος ἄκρον, σὺν τῷ καὶ μέρος ἐκείνου, οὗπέρ ἐστιν ἄκρον,
15 ὑπάρχειν· ἐὰν γοῦν ἀφέλωμεν αὐτό, μειωθήσεται τὸ ἀφ' οὗ ἡ ἀφαίρεσις. τὸ δὲ μέρος τινὸς ὑπάρχον εὐθὺς καὶ συμπληρωτικὸν αὐτοῦ καθέστηκεν, ὃ δέ ἐστί τινος συμ- 10 πληρωτικόν, πάντως αὔξει τὸ μῆκος ἐκείνου, καὶ ὅ ἐστι
25 μεγέθους αὐξητικόν, τοῦτο ἐξ ἀνάγκης ἔχει μέγεθος. πᾶν
20 ἄρα τὸ ἐν τοῖς αἰσθητοῖς σημεῖόν τινος καὶ ἄκρον μέγεθος ἔχον οὐκ ἔστιν ἀδιάστατον. ὅθεν εἰ καὶ τὸ νοητὸν μεταβατικῶς ἀπὸ τοῦ αἰσθητοῦ νοοῦμεν, σὺν τούτῳ καθ- 15 εστὼς σημεῖον καὶ πέρας γραμμῆς αὐτὸ νοήσομεν, σὺν τῷ καὶ ⟨συμ⟩πληρωτικὸν αὐτῆς ὑπάρχειν, ὥστε καὶ αὐτὸ
25 διάστασιν ἕξει πάντως, ὅ γε διαστάσεώς ἐστι περιποιη-
26 τικόν. ἄλλως τε τὴν ἀπὸ τοῦ κέντρου ἐκβληθεῖσαν εὐθεῖάν φασι περιαγομένην τῷ πέρατι ἑαυτῆς κυκλογραφεῖν 20 τὴν ἐπίπεδον. ἐπεὶ οὖν τὸ ἄκρον ταύτης τῆς εὐθείας ἐστὶ σημεῖον, καὶ τοῦτο περιαγόμενον καταμετρεῖ τὴν περιφέ-
30 ρειαν, ἔσται τοῦτο συμπληρωτικὸν τῆς περιφερείας· ἡ δέ γε περιφέρεια διάστασιν εἶχεν· τοίνυν καὶ τὸ συμπλη-
27 ρωτικὸν αὐτῆς σημεῖον ἕξει τινὰ διάστασιν. ἥ γε μὴν 25 σφαῖρα καθ' ἓν σημεῖον ἀξιοῦται τῆς ἐπιπέδου ἅπτεσθαι,

**2** ἦν ci. Bekk.: εἶναι G || **14** καί om. C || **15** ὑποπίπτειν G: corr. Bekk. || **18** μῆκος G: μέγεθος Bekk. || **19** μέγεθος αὐξητικὸν G || **24** ⟨ ⟩ Bekk.

702
ἐκκυλιομένη τε γραμμὴν ποιεῖν, δῆλον ὡς τῶν ἐπικαταπιπτόντων σημείων τὴν ὅλην συντιθέντων γραμμήν. τοίνυν εἰ τοῦ μεγέθους τῆς γραμμῆς συμπληρωτικόν ἐστι
30 τὸ σημεῖον, ἕξει καὶ αὐτὸ μέγεθος. συγκεχώρηται δὲ τοῦ μεγέθους τῆς γραμμῆς συμπληρωτικὸν αὐτὸ τυγχάνειν· 5
καὶ αὐτὸ ἄρα μέγεθος ἕξει καὶ οὐκ ἀδιάστατον γενήσεται.|

703 Ἀλλ' εἰώθασι πρὸς τὰς τοιαύτας ἐπιχειρήσεις ὑπαν- 28
τῶντες οἱ περὶ τὸν Ἐρατοσθένη λέγειν ὅτι τὸ σημεῖον οὔτε ἐπιλαμβάνει τινὰ τόπον οὔτε καταμετρεῖ τὸ διάστημα τῆς γραμμῆς, ῥυὲν δὲ ποιεῖ τὴν γραμμήν. ὅπερ ἐστὶν 10
5 ἀδιανόητον. ῥεῖν γὰρ νοεῖται τὸ ἀπό τινος τόπου εἴς τινα τόπον ἐπεκτείνεσθαι, ὥσπερ τὸ ὕδωρ. εἰ δὴ τοιοῦτόν τι φαντασιούμεθα τὸ σημεῖον, ἀκολουθήσει οὐχ οἷον ἀμερὲς αὐτὸ τυγχάνειν, ἀλλ' ἐκ τῶν ἐναντίων πολυμερές.

Τοσαῦτα μὲν περὶ στιγμῆς, ἴδωμεν δὲ παρακειμένως 29
10 καὶ τὰ περὶ γραμμῆς ὀφείλοντα λέγεσθαι· αὕτη γὰρ μετὰ 16
τὴν στιγμὴν ἐτέτακτο. ⟨λεκτέον⟩ τοίνυν, ὅτι, κἂν δοθῇ στιγμή τις ὑπάρχειν, οὐκ ἔσται ἡ γραμμή. εἰ γὰρ αὕτη ῥύσις ἐστὶ σημείου καὶ μῆκος ἀπλατές, ἤτοι ἕν ἐστι σημεῖον εἰς μῆκος ἐκτεταμένον ἢ πολλὰ ⟨ἀ⟩διάστατα στοί- 20
15 χῳ κείμενα· οὔτε δὲ ἕν ἐστιν εἰς μῆκος ἐκτεταμένον, ὡς 30
παραστήσομεν, οὔτε πολλὰ σημεῖα στοίχῳ κείμενα, καθὼς καὶ τοῦτο ὑπομνήσομεν· οὐκ ἄρα ἔστι γραμμή. εἰ γὰρ ἕν ἐστι [τὸ] σημεῖον, ἤτοι τοῦτο τὸ σημεῖον ἕνα μόνον ἐπέχει τόπον, ἢ μετατίθεται τόπον ἐκ τόπου, ἢ 25
20 ἐπεκτείνεται ἀπό τινος τόπου εἴς τινα τόπον. ἀλλ' εἰ μὲν 31
ἑνὶ ἐμπεριέχεται τόπῳ, οὐκ ἔσται γραμμὴ ἀλλὰ στιγμή· ῥυὲν γὰρ ἐνοεῖτο γραμμή. εἰ δὲ τόπον ἐκ τόπου μετέρχεται, ἤτοι, ὡς προεῖπον, ὃν μὲν ἀπολεῖπον ὃν δὲ ἐπιλαμ-

§**28** Eratosth. apud Theon. Smyrn. p. 83, 21 Hiller. v. Philol. 30, 1871, 61 || **29** ~ M IX 380 || **30** ~ M IX 381 || **31** ~ M XI 382

**1** *ἐκκυλιομένην* G: corr. Bekk. dubitans, an *ἐγκ.* || **15** *μὲν* om. L || **17** *⟨λεκτέον⟩* addidi | *ὅτι* om. ς edd. || **20** *διαστατὰ* G: corr. Heintz || **20** et **22** *στίχῳ* ς || **22** *σημεῖα* — 23 *οὐκ* om. A, in marg. add. || **24** *τὸ* del. Heintz | *αὐτὸ σημ.* C: *αὐτὸ τὸ σημ.* cett.: corr. Heintz

703

βάνον μετέρχεται, ἢ οὗ μὲν ἐχόμενον τόπου εἰς ὃν δὲ
ἐκτεινόμενον. ἀλλ' εἰ ὃν μὲν ἀπολεῖπον ὃν δὲ ἐπιλαμβάνον, 25
32 πάλιν οὐκ ἔσται γραμμὴ ἀλλὰ στιγμή. ᾧ γὰρ λόγῳ τόπον
πρῶτον ἐπεσχηκὸς στιγμή τις ἀλλ' οὐ γραμμὴ ἐνοεῖτο,
5 τῷ αὐτῷ καὶ τὸν δεύτερον ἐπιλαμβάνον τόπον νοηθήσεται
στιγμή. εἰ δὲ οὗ μὲν ἐχόμενον τόπου εἰς ὃν δὲ ἐκτεινό-
μενον, ἤτοι μεριστῷ τόπῳ ἀντιπαρεκτείνεται ἢ ἀμερίστῳ. 30
33 καὶ εἰ μὲν ἀμερίστῳ τόπῳ ἀντιπαρεκτείνεται, πάλιν οὐκ
ἔσται γραμμὴ ἀλλὰ στιγμὴ καὶ σημεῖον· τὸ γὰρ ἀμερῆ
10 τόπον ἐπεσχη|κὸς ἀμερές ἐστιν, ὃ δέ ἐστιν ἀμερές, στιγμὴ 704
καὶ οὐ γραμμὴ καθέστηκεν. εἰ δὲ μεριστῷ, πάντως ἐπεὶ
τὸ ⟨μεριστῷ ἀντιπαρεκτεινόμενον τόπῳ ὀφεῖλον καὶ αὐτὸ
εἶναι⟩ μεριστὸν, μέρη ἔχει, εἴγε ἅπαντι παρεκτείνεται τῷ
τόπῳ, τὸ δὲ μέρη ἔχον, οἷς ἀντιπαρεκτείνεται τοῖς τοῦ
15 τόπου μέρεσι, σῶμά ἐστιν, ἔσται τὸ σημεῖον καὶ μεριστὸν 5
34 καὶ σῶμα· ὅπερ ἄτοπον. ὥστε οὐχ ἕν ἐστι σημεῖον ἡ
γραμμή. καὶ μὴν οὐδὲ[τὰ]πολλὰ σημεῖα στοιχηδὸν κεί-
μενα. ταῦτα γὰρ τὰ σημεῖα ἤτοι ψαύοντα ἀλλήλων νοεῖται
ἢ οὐ ψαύοντα. καὶ εἰ μὲν οὐ ψαύοντα ἀλλήλων, μεσο-
20 λαβούμενα τόποις τισὶ διορισθήσεται, καὶ τόποις διορι- 10
35 ζόμενα οὐκέτι ποιήσει μίαν γραμμήν. εἰ δὲ ψαύοντα ἀλ-
λήλων νοοῖτο, ἤτοι ὅλα ὅλων ἅψεται ἢ μέρεσι μερῶν. καὶ
εἰ μὲν μέρεσι μερῶν ἅψεται, οὐκ ἔσται αὐτὰ ἔτι ἀδιά-
στατα καὶ ἀμερῆ· τὸ γὰρ μέσον δυοῖν σημείων λόγου
25 χάριν νοούμενον σημεῖον ἄλλῳ μὲν μέρει ἅψεται τοῦ 15
ἔμπροσθεν σημείου, ἄλλῳ δὲ τοῦ ὄπισθεν, οὐ τῷ αὐτῷ
δὲ τῆς ἐπιπέδου, διαφέροντι δὲ τοῦ ἄλλου τόπου, ὥστε
μηκέτ' αὐτὸ ταῖς ἀληθείαις ἀμερὲς τυγχάνειν ἀλλὰ πολυ-
36 μερές. εἰ δὲ ὅλα ὅλων ἅψαιτο σημεῖα, δῆλον ὡς ἐν σημείοις

§32 ~ M XI 383 || 32—33 ~ M IX 384 || 33 ~ M IX 385 || 34 ~ M IX 386 || 35 ~ M IX 387 || 36 ~ M IX 388—389


5 τὸ αὐτὸ ς | τὸ δεύτ. VC || 7 ἢ — 8 ἀντιπαρεκτείνεται om. E || 11. 12. 13. μεριστῷ — εἶναι suppl. Heintz: ἐπεὶ τὸ μεριστῷ ⟨παρεκτεινόμενον⟩ μέρη ἔχει Bury || 13 τῷ om. E || 16 ὅπερ ἔστιν VC Fabr. || 17 τὰ del. Heintz | στιχηδὸν ς || 20 διορισθήσονται E || 23 αὐτῶν τι G: corr. Bekk. || 24 δυεῖν EL || 25 ἅψεται ELVr Fabr. et marg. cod. ed. Gen.: ἅψετο A

704

20 σημεῖα περισχεθήσεται καὶ τὸν αὐτὸν ἐφέξει τόπον· ταύτῃ τε οὐκ ἔσται στοιχηδὸν κείμενα, ἵνα γένηται γραμμή, ἀλλ' εἰ τὸν αὐτὸν ἐπέσχηκε τόπον, μία καταστήσεται στιγμή. εἴπερ οὖν, ἵν' ἐπινοηθῇ γραμμή, δεῖ προ[σ]επινοεῖσθαι τὸ σημεῖον ἐξ οὗ λαμβάνει τὴν νόησιν, ἐπιδέδεικται δὲ 5
25 μήτε σημεῖον οὖσα μήτε ἐκ σημείων σύνθετος, οὐδὲν ἔσται γραμμή.

Καί μὴν πάρεστιν ἀποστάντας τῆς τοῦ σημείου νοήσεως προηγουμένως ἀναιρεῖν τὴν γραμμὴν καὶ τὸ ἀνεπινόητον αὐτῆς διδάσκειν. γραμμὴ γάρ ἐστιν, ὡς αὐτῶν 37 10
30 πάρεστιν ἀκούειν τῶν γεωμετρῶν, μῆκος ἀπλατές, σκεψάμενοι δὲ ἡμεῖς ἀκριβῶς οὔτε ἐν τοῖς νοητοῖς οὔτε ἐν τοῖς αἰσθητοῖς εὑρήσομεν δυνάμενόν τι ληφθῆναι μῆκος ἀπλατές. καὶ ἐν μὲν τοῖς αἰσθητοῖς, ἐπείπερ ὃ ἂν λάβωμεν | 38
705 αἰσθητὸν μῆκος, τοῦτο πάντῃ τε καὶ πάντως σὺν ποσῷ 15 πλάτει ληψόμεθα· ἐν δὲ τοῖς νοητοῖς, καθόσον ἕτερον 39 μὲν ἑτέρου στενώτερον δυνάμεθα νοῆσαι μῆκος, ὅταν δὲ τὸ αὐτὸ μῆκος κατ' ἰσότητα φυλάττοντες σχίζωμεν ταῖς
5 ἐπινοίαις τὸ πλάτος καὶ ἄχρι τινὸς τὸ αὐτὸ ποιῶμεν, ἔλαττον μὲν τὸ πλάτος καὶ ἔλαττον γινόμενον νοήσομεν, ἐπει- 20 δὰν δὲ ἅπαξ φθάσωμεν στερῆσαι τοῦ πλάτους τὸ μῆκος, οὐκέτι οὐδὲ μῆκος φαντασιούμεθα, ἀλλ' ἀναιρεῖται καὶ ἡ
10 τοῦ μήκους ἐπίνοια. καθόλου τε πᾶν τὸ νοούμενον κατὰ 40

**§ 37** ~ M IX 390—391 | *μῆκος ἀπλατές* v. supr. ad § 20 || **38** ~ M IX 391 || **39** ~ M IX 392 || **40** ~ M IX 393—394 | *πρώτους τρόπους* cf. PH I 178. M VIII 56 Diog. Laert. VII 52. In marg. G hoc diagramma, optime in L, quibusdam lineis falsis corrupt. in cett., pictum:




**1.2** *ταύτῃ δὲ* Fabr. Gen. || **4** *προεπινοεῖσθαι* Fabr. Bury || **6** *σημείων οὖσα σύνθ.* E || **15** *τοῦτο* — 18 *μῆκος* om. E || **16.17** *ἕτερον μὲν ἕτερον ἑτέρου* BCR || **19** *τοῦτο* pro *τὸ αὐτὸ* dub. Bekk. Bury || **23** *δὲ πᾶν* Gen. Fabr.

705

δύο τοὺς πρώτους ἐπινοεῖται τρόπους· ἢ γὰρ κατὰ περίπτωσιν ἐναργῆ ἢ κατὰ τὴν ἀπὸ τῶν ἐναργῶν μετάβασιν, καὶ ταύτην τρισσήν· ἢ γὰρ ὁμοιωτικῶς ἢ ἐπισυνθετικῶς ἢ ἀναλογιστικῶς. ἀλλὰ κατὰ μὲν περιπτωτικὴν ἐνάργειαν 5 νοεῖται τὸ λευκὸν καὶ τὸ μέλαν καὶ γλυκὺ καὶ πικρόν, 15 κατὰ δὲ τὴν ἀπὸ τῶν ἐναργῶν μετάβασιν ὁμοιωτικῶς μὲν νοεῖται καθάπερ ἀπὸ τῆς Σωκράτους εἰκόνος Σωκράτης 41 αὐτός, ἐπισυνθετικῶς δὲ καθάπερ ἀπὸ ἵππου καὶ ἀνθρώπου ἱπποκένταυρος· ἵππεια γὰρ καὶ βρότεια μίξαντες μέλη 10 ἐφαντασιώθημεν τὸν μήτε ἄνθρωπον μήτε ἵππον ἀλλ' ἐξ 20 ἀμφοτέρων σύνθετον ἱπποκένταυρον. ἀναλογιστικῶς δέ 42 τι νοεῖται πάλιν κατὰ δύο τρόπους, ὁτὲ μὲν αὐξητικῶς ὁτὲ δὲ μειωτικῶς, οἷον ἀπὸ τῶν κοινῶν ἀνθρώπων,

οἷοι νῦν βροτοί εἰσιν,

15 παραυξητικῶς μὲν ἐνοήσαμεν Κύκλωπα, ὃς οὐκ ἐῴκει 25

ἀνδρί γε σιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι, (Hom. ι 191)

μειωτικῶς δὲ τὸν πυγμαῖον ἄνθρωπον, ὃς οὐχ ὑπέπεσεν 43 ἡμῖν περιπτωτικῶς. τοσούτων δὴ νοήσεως ὄντων τρόπων, εἴπερ νοεῖταί τι ἀπλατὲς μῆκος, ἐξ ἀνάγκης ὀφείλει ἤτοι 20 κατὰ περιπτωτικὴν ἐνάργειαν νοεῖσθαι ἢ κατὰ τὴν ἀπὸ 30 τῶν ἐναργῶν μετάβασιν. ἀλλὰ κατὰ περιπτωτικὴν μὲν | ἐνάργειαν οὐκ ἂν νοοῖτο· οὐδενὶ γὰρ περιεπέσομεν μήκει 706 44 χωρὶς πλάτους. λείπεται οὖν κατὰ τὴν ἀπὸ τῶν ἐναργῶν μετάβασιν λέγειν αὐτὸ νενοῆσθαι· ὃ πάλιν τῶν ἀδυνατω-25 τάτων. εἰ γὰρ οὕτως ἐνοήθη, ἤτοι πάντως κατὰ ὁμοίωσιν 5 ἢ κατὰ ἐπισύνθεσιν ἐνοεῖτο ἢ κατὰ ἀναλογίαν· κατ' οὐδένα δὲ τούτων τῶν τρόπων εἰς ἔννοιαν ἐλθεῖν πέφυκεν, ὡς παραστήσομεν· οὐκ ἄρα νοεῖταί τι μῆκος ἀπλατές. 45 αὐτίκα γὰρ κατὰ μὲν τὴν ὁμοιότητα τῶν ἀμηχάνων ἐστὶ νοεῖν τι μῆκος ἀπλατές. οὐδὲν γὰρ ἔχομεν ἐν τοῖς φαινο- 10

ad § 40 v. supr. p. 115. || 41 ~ M IX 395 || 42 ~ M IX 395 || 43 ~ M IX 396–397 || 44–46 ~ M IX 398

3 ἢ γὰρ καὶ A || 5 καὶ τὸ γλυκὺ καὶ τὸ π. A || 17 μειωτικὸς L: μειωτικῶν E || 18 νοήσεων G: corr. Bekk. || 19 τι Heintz Bury Theiler: τὸ G

706 μένοις μῆκος χωρὶς πλάτους [νοούμενον], ἵνα νοήσωμεν ὅμοιόν τι τούτῳ μῆκος ἀπλατές. τὸ γάρ τινι ὅμοιον γι- 46 νωσκομένῳ πάντως ἐστὶν ὅμοιον, τῷ δὲ μὴ γινωσκομένῳ οὐδὲ ὅμοιον εὑρεῖν δυνατόν. ἐπεὶ οὖν οὐκ ἔχομεν ἐναργῶς ὑποπῖπτον ἡμῖν μῆκος χωρὶς πλάτους, οὐδὲ ὅμοιόν τι 5
15 αὐτῷ δυνησόμεθα νοεῖν. καὶ μὴν οὐδὲ κατ' ἐπισύνθεσιν 47 οἷόν τέ ἐστι προβαίνειν τοῖς γεωμέτραις αὐτοῦ τὴν ἐπίνοιαν· εἰπάτωσαν γὰρ ἡμῖν τίνα τῶν ἐκ περιπτώσεως ἐναργῶς γινωσκομένων μετὰ τίνων συνθέντες νοήσομεν τὸ ἀπλατὲς μῆκος, ὡς πρότερον ἐπ' ἀνθρώπου καὶ ἵππου 10
20 ποιοῦντες ἐφαντασιούμεθα ἱπποκένταυρον. λείπεται οὖν 48 ἐπὶ τὸν κατὰ ἀναλογιστικὴν αὔξησιν ἢ μείωσιν [τὸν] τῆς νοήσεως αὐτοῖς τρόπον συμφεύγειν· ὃ πάλιν τῶν ἀπόρων θεωρεῖται. τὰ γὰρ κατὰ ἀναλογίαν νοούμενα ἔχει τι κοι- 49 νὸν πρὸς τὰ ἀφ' ὧν νοεῖται, οἷον ἀπὸ τοῦ κοινοῦ μεγέ- 15
25 θους τῶν ἀνθρώπων παραυξητικῶς ἐνοήσαμεν τὸν Κύκλωπα καὶ μειωτικῶς τὸν πυγμαῖον, ὥστε εἶναί τι κοινὸν τοῖς κατὰ ἀναλογίαν νοουμένοις πρὸς ἐκεῖνα τὰ ἀφ' ὧν νοεῖται. οὐδὲν δ' ἔχομεν κοινὸν τοῦ τε ἀπλατοῦς καὶ τοῦ
30 σὺν πλάτει νοουμένου μήκους, ἵν' ἀπ' ἐκείνου ὁρμηθέντες 20 νοήσωμεν τὸ ἀπλατὲς μῆκος. μηδὲ ἔχοντές τι κοινὸν αὐ- 50 τῶν οὐδὲ κατὰ ἀναλογίαν ποιήσασθαι τὴν τοῦ ἀπλατοῦς
707 μήκους νόησιν ἰσχύσομεν. ὅθεν εἰ ἕκαστον τῶν | νοουμένων κατὰ τοὺς ἐκκειμένους νοεῖται τρόπους, δεδίδακται δὲ κατὰ μηδέν' αὐτῶν νοούμενον τὸ ἀπλατὲς μῆκος, ἀν- 25 επινόητόν ἐστι τὸ ἀπλατὲς μῆκος.

Ὅμως δ' οὖν καὶ πρὸς τοὺς οὕτως ἐναργεῖς ἐλέγχους 51
5 πειρῶνται κατὰ τὸ δυνατὸν ἀνδριζόμενοι λέγειν οἱ γεωμέτραι ὅτι κατ' ἐπίτασιν νοεῖται τὸ ἀπλατὲς μῆκος. λα- 52 βόντες γοῦν ὁποιονδήποτε μῆκος σὺν ποσῷ πλάτει, φασὶν 30 ὅτι μειοῦμεν κατ' ἐπίτασιν τουτὶ τὸ πλάτος ἀεὶ καὶ μᾶλ-

**§ 47** ∼ M IX 399 ‖ **48—49** ∼ M IX 400—401 ‖ **50** ∼ M IX 402 ‖ **51—52** ∼ M IX 403

**1** *νοούμενον* del. Heintz ‖ **12** *ἐπὶ τῶν κατὰ* VC | *τὸν* ⟨*τρίτον*⟩ *τῆς* dub. Bekk. Bury: *τὸν* delevi ‖ **14** *γινόμενα* pro *νοούμενα* ς ‖ **21** *μὴ ἔχοντες δέ* EL: *μὴ δὲ ἔχοντές* ς ‖ **27** *ἀναργεῖς* L

*λον τὴν στενότητα ἐπιτείνοντες, εἶθ' οὕτως τὸ κατ' ἐπίτασιν νοούμενον ἀπλατὲς εἶναι μῆκος λέγομεν· εἰ γὰρ* 10 *κατ' ὀλίγον ἐλαττοῦται στενούμενον τὸ πλάτος κατ' ἐπίτασιν, ἐλεύσεταί ποτε καὶ εἰς ἀπλατὲς μῆκος, καταληξά-*
53 *σης εἰς τοῦτο τῆς νοήσεως. ἀλλὰ μὴν ἐδείξαμεν, ἐρεῖ τις,*
6 *ὅτι ἡ παντελὴς στέρησις τοῦ πλάτους ἀναίρεσίς ἐστι καὶ τοῦ μήκους. εἶτα τὸ κατ' ἐπίτασίν τινος νοούμενον οὐχ* 15 *ἕτερόν ἐστι τοῦ προεπινοηθέντος, ἀλλ' αὐτὸ ἐκεῖνο ἐπι-*
54 *τεταμένον. ἐπεὶ οὖν ἀπὸ τοῦ ποσὸν ἔχοντος πλάτος κατ'*
10 *ἐπίτασιν στενότητος νοῆσαί τι θέλομεν, τὸ μὲν πάντῃ πάντως ἀπλατὲς μῆκος οὐκ ἐπινοήσομεν (ἑτερογενὲς γάρ ἐστι), στενὸν δέ τι ληψόμεθα πλάτος, ὥστε τὴν κατά-* 20 *ληξιν τῆς νοήσεως ἐν ἐλαχιστοτάτῳ γενέσθαι πλάτει, πλὴν ὅμως πλάτει, τὸ δὲ μετὰ τοῦτο γενέσθαι τὴν ἐπι-*
15 *βολὴν τῆς διανοίας εἰς ἑτερογενές, καὶ ὃ μήτε μῆκός ἐστι*
55 *μήτε πλάτος. εἴπερ τε δυνατόν ἐστι μῆκός τι νοήσαντας σὺν ποσῷ πλάτει στερήσει τοῦ πλάτους λαβεῖν μῆκος* 25 *ἀπλατές, ἐνδέξεταί ποτε κατὰ τὸν ὅμοιον τρόπον καὶ σάρκα σὺν τρωτῷ ἰδιώματι νοήσαντας στερήσει τοῦ τρω-*
56 *τοῦ ἰδιώματος νοῆσαι ἄτρωτόν τε καὶ ἀπαθῆ σάρκα, δυ-*
21 *νατὸν δὲ ἔσται καὶ σῶμα νοήσαντας μετὰ ἀντιτύπου ἰδιώματος στερήσει τῆς ἀντιτυπίας λαβεῖν τι μὴ ἀντιτυποῦν* 30 *σῶμα. ὅπερ τελέως ἐστὶν ἀδύνατον καὶ παρὰ τὴν κοινὴν τῶν ἀνθρώπων ἔννοιαν· τὸ γὰρ ἄτρωτον νοούμενον ἡμῖν*
25 *οὐκέτι ἐστὶ σάρξ, ἐπείπερ σὺν τῷ τρωτῷ ἰδιώματι ἡ σὰρξ* | 708 *ἐνοεῖτο ὡς σάρξ, καὶ τὸ μὴ ἀντιτυποῦν σῶμα οὐκέτι νοεῖται σῶμα· σὺν γὰρ τῷ ἀντιτύπῳ ἰδιώματι ἐνοεῖτο ⟨τὸ⟩ σῶμα, καθό ἐστι σῶμα. ὅθεν καὶ τὸ νοούμενον μῆκος χωρὶς πλάτους οὐκ ἂν εἴη μῆκος· σὺν γὰρ τῷ ποσὸν*
30 *ἔχειν πλάτος τὸ μῆκος ὡς μῆκος νοεῖται.* 5

§ 53 ~ M IX 404 ‖ 54 ~ M IX 405–406 ‖ 55 ~ M IX 410 ‖ 56 ~ M IX 411

**8** *πρ̥επινοηθέντος* L: *προσεπ.* Vr ‖ **14** post *πλάτει* schol. *ἐν ἐλαχιστοτάτω γενέσθαι πλάτει* marg. B ‖ **15** [*καὶ*]? Harder ‖ **19** *νοήσαντας* — 20 *ἰδιώματος* om. E ‖ **25** *οὐκ* ς | *ἐπείπερ* — 26 *σάρξ* om. ς ‖ **28** *τὸ* add. Bekk.: *ἐνοεῖ τὸ* V ‖ **29** *οὐκ* — p. 119, 10 *πλάτους* om. E

708

Ἀλλ' ὅ γε Ἀριστοτέλης (fr. 29 Rose), καίπερ ποικί- 57
λως κατασκευασθείσης τῆς τοῦ πράγματος ἀνεπινοησίας
καὶ οὐκ ἐν ὀλίγῳ κειμένων ταράχῳ τῶν γεωμετρῶν, φησὶ
μὴ ἀδιανόητον εἶναι τὸ ὑπὸ τούτων λεγόμενον μῆκος ἀπλα-
10 τές, ἀλλὰ δύνασθαι χωρὶς πάσης περισκελείας εἰς ἔννοιαν 5
ἡμῖν ἐλθεῖν. ἵστησι δὲ τὸν λόγον ἐπί τινος ἐναργεστέρου
ὑποδείγματος καὶ σαφοῦς. τὸ γοῦν τοῦ τοίχου μῆκος, 58
φησί, λαμβάνομεν μὴ συνεπιβάλλοντες αὐτοῦ τῷ πλάτει,
διόπερ ἐνέσται καὶ τὸ παρὰ τοῖς γεωμέτραις λεγόμενον
15 μῆκος χωρὶς πλάτους τινὸς ἐπινοεῖν, ἐπείπερ ὄψις τῶν 10
ἀδήλων ἐστὶ τὰ φαινόμενα, πλανώμενος ἢ τάχα κατασο-
φιζόμενος ἡμᾶς. ὅταν γὰρ τὸ τοίχου μῆκος χωρὶς πλά-
τους νοῶμεν, οὐ χωρὶς παντὸς πλάτους αὐτὸ νοοῦμεν,
ἀλλὰ χωρὶς τοῦ περὶ τῷ τοίχῳ καθεστῶτος πλάτους. ὅθεν 59
20 καὶ ἐνδέχεται συμπλέξαντας τὸ τοῦ τοίχου μῆκός τινι πλά- 15
τει καὶ ὁτῳδηποτοῦν νόησιν αὐτοῦ ποιεῖσθαι· ὥστε μῆκος
λαμβάνεσθαι τὰ νῦν οὐ χωρὶς παντὸς πλάτους, καθάπερ
ἀξιοῦσιν οἱ ἀπὸ τῶν μαθημάτων, ἀλλὰ χωρὶς τοῦδέ τινος
πλάτους. προύκειτο δὲ τῷ Ἀριστοτέλει παραστῆσαι οὐχ
25 ὅτι τινὸς πλάτους ἀμοιρεῖ τὸ κατὰ τοὺς γεωμέτρας λεγό- 20
μενον μῆκος, ἀλλ' ὅτι παντὸς ἐστέρηται πλάτους· ὅπερ
οὐκ ἀπέδειξεν.

Ταῦτα μὲν οὖν περὶ τούτων· ἐπειδὴ δὲ οἱ γεωμέτραι 60
καὶ πέρας ἐπιφανείας εἶναι λέγουσι τὴν γραμμήν, ὅ ἐστι
30 μῆκος ἀπλατές, φέρε κοινότερον περὶ γραμμῶν ἅμα καὶ | 25
709 ἐπιφανειῶν διαπορῶμεν· οὕτω γὰρ εὐδιάβλητος καὶ ὁ
ἐπὶ τὸ σῶμα γενήσεται λόγος. εἰ γὰρ ἡ γραμμὴ πέρας 61
ἐστὶν ἐπιφανείας, μῆκος ἀπλατὲς καθεστῶσα, δῆλον ὡς
ὅταν ἐπιφάνεια ἐπιφανείᾳ παρατεθῇ, ἤτοι παράλληλοι γε-
5 νήσονται δύο γραμμαὶ ἢ μία ἀμφότεραι. καὶ εἰ μὲν μία 30

§ 57—59 ∼ M IX 412 ‖ 59 ∼ M IX 413 ‖ 60 ∼ M IX 414 ‖ 61—62 ∼ M IX 415

5 περισκελίας ς ‖ 11 gloss. οὔτε πλανώμενος οὔτε σοφιζόμενος ἀλλὰ καὶ λίαν ἀληθεύων, ὡς (καὶ L) τοῖς δυναμένοις ἐφιστάνειν ἀπαθῶς, οἶμαι, δόξειεν ἄν marg. Lς ‖ 12 τὸ ⟨τοῦ⟩ τοίχου Bekk. ‖ 19 προύκειτο (Bekk.: προϋπέκειτο G) — 20 πλάτους om. E, inseruit post v. 21 μῆκος, vocem ἀμοιρεῖ iterans

*αἱ δύο γραμμαὶ γίνονται, ἐπεὶ ἡ γραμμὴ πέρας ἐστὶν ἐπιφανείας, ἡ δὲ ἐπιφάνεια πέρας σώματος, τῶν μὲν δυοῖν γραμμῶν μιᾶς ἅμα γινομένων γενήσονται καὶ αἱ δύο ἐπιφάνειαι μία ἐπιφάνεια, τῶν δὲ δυοῖν ἐπιφανειῶν* 5 *μιᾶς ἐπιφανείας γενηθεισῶν ἐξ ἀνάγκης ἔσται καὶ τὰ δύο* 10 *σώματα ἓν σῶμα, τῶν δὲ δυοῖν σωμάτων ἑνὸς γενομένων ἡ παράθεσις οὐκ ἔσται παράθεσις ἀλλ' ἕνωσις. ὅπερ ἐστὶν* 62 *ἀδύνατον. ἐπὶ τινῶν μὲν γὰρ σωμάτων δύναται ἡ παράθεσις ἕνωσις γίνεσθαι, καθάπερ ὕδατος καὶ τῶν ἐοικότων* 10 *τούτῳ, ἐπὶ τινῶν δὲ οὐδαμῶς· καὶ γὰρ λίθος λίθῳ παρα-* 15 *τιθέμενος καὶ σίδηρος σιδήρῳ καὶ ἀδάμας ἀδάμαντι κατὰ γραμμὴν οὐχ ἑνοῦνται. ὥστε οὐκ ἂν γένοιντο αἱ δύο γραμμαὶ μία γραμμή. καὶ γὰρ ἄλλως, εἰ ἕνωσίς ἐστι τῶν δύο γραμμῶν μιᾶς γενομένων καὶ σύμφυσις τῶν σωμά-* 15 *των, ἐχρῆν τὸν χωρισμὸν γίνεσθαι μὴ κατὰ τὰ αὐτὰ αὐ-* 20 *τῶν πέρατα ἀλλὰ κατὰ ἄλλα καὶ ἄλλα μέρη ἀποσπωμένων, ὥστε καὶ φθορὰν συμβαίνειν. οὐχὶ δέ γε τοῦτο γινόμενον θεωρεῖται, ἀλλὰ τὰ πέρατα τῶν σωμάτων καὶ πρὸ τῆς παραθέσεως καὶ μετὰ τὸν χωρισμὸν τοιαῦτά ἐστιν* 20 *ὁποῖα καὶ ἐν τῇ παραθέσει ὄντα [πρότερον] ἐφαίνετο. οὐ* 25 63 *τοίνυν αἱ δύο γραμμαὶ μία γίνονται. οὐ μὴν ἀλλ' εἴπερ αἱ δύο γραμμαὶ μία γίνονται, δεήσει τὰ παρατιθέμενα ἀλλήλοις σώματα ἑνὶ ἄκρῳ ἐλάσσω εἶναι· γεγόνασι γὰρ αἱ δύο μία, ἥτις ἓν ἔχειν ὀφείλει πέρας τε καὶ ἄκρον. οὐχὶ δέ γε* 30 25 *τὰ παρατιθέμενα ἀλλήλοις σώματα ἑνὶ ἄκρῳ γίνεται ἐλάσσονα, ὥστε αἱ δύο γραμμαὶ οὐκ ἂν γένοιντο μία γραμμή.* 64 *εἰ δὲ παράλληλοι γίνονται δύο γραμμαὶ κατὰ παράθε-* 710 *σιν δυοῖν σωμάτων, τὸ ἐκ τῶν δυοῖν γραμμῶν μεῖζον ἔσται τῆς μιᾶς γραμμῆς. εἰ δὲ τὸ ἐκ τῶν δυοῖν γινόμενον γραμ-* 30 *μῶν μεῖζόν ἐστι τῆς μιᾶς γραμμῆς, ἔχοι ἂν ἑκατέρα αὐτῶν πλάτος, ὃ μεθ' ἑτέρας μείζονα ποιεῖ τὴν διάστασιν,* 5 *καὶ οὕτως οὐκ ἔστιν ἀπλατὲς μῆκος ἡ γραμμή. δυοῖν*

**§ 62** ~ M IX 416 || **63** ~ M IX 416 || **64** ~ M IX 417

**2** *τῶν μὲν* ci. Bekk.: *τῶν δὲ* G || **3.4.6.** *δυεῖν* EL || **9** *γενέσθαι* VC || **13** *εἰ* om. VC || **20** [ ] Harder | *ἐφαίνοντο* G: corr. dubitans Bekk. Bury || **28.29.32** *δυεῖν* EL || **29** *εἰ* — 30 *γραμμῆς* om. ς

710
οὖν θάτερον, ἢ ἀναιρεῖν δεῖ τὴν ἐνάργειαν, ἢ μενούσης
ταύτης ἀθετεῖν τὴν τῶν γεωμετρῶν ἐπίνοιαν, καθ' ἣν
οἴονται τὴν γραμμὴν μῆκος ἀπλατὲς ὑπάρχειν.
10 Καὶ δὴ ταῦτα μὲν προηγουμένως ῥητέον ἐστὶν ἡμῖν 65
πρὸς τὰς τῆς γεωμετρίας ἀρχάς· μεταβάντες δὲ διδά- 5
σκωμεν ὅτι καὶ κατὰ τὰς ἐκείνων αὐτῶν ὑποθέσεις οὐχ
οἷόν τε προβαίνειν τὴν ζήτησιν. ἀρέσκει τοίνυν αὐτοῖς τὴν
εὐθεῖαν γραμμήν, ὡς καὶ ἀνώτερον (112, 26) ἐλέγομεν,
15 στρεφομένην πᾶσιν αὐτῆς τοῖς μέρεσι κύκλους γράφειν·
ᾧπερ θεωρήματι ὄντι συνεκτικωτάτῳ μαχόμενόν ἐστι τὸ 10
τὴν γραμμὴν μῆκος ἀπλατὲς ὑπάρχειν. ζητῶμεν δὲ τὸν 66
τρόπον τοῦτον· εἰ γὰρ κατ' αὐτοὺς πᾶν μέρος τῆς γραμ-
μῆς ἔχει σημεῖον, τὸ δὲ σημεῖον στρεφόμενον κύκλον
20 γράφει, δεήσει κατ' αὐτούς, ὅταν ἡ εὐθεῖα γραμμὴ στρε-
φομένη καὶ πᾶσι τοῖς ἑαυτῆς μέρεσι κυκλογραφοῦσα τὸ 15
διάστημα καταμετρῇ ⟨τὸ⟩ τῆς ἀπὸ τοῦ κέντρου μέχρι τῆς
ἐξωτάτης περιφερείας ἐπιπέδου, τότε ἤτοι συνεχεῖς ἀλλή-
λοις ὑπάρχειν τοὺς καταγραφομένους κύκλους ἢ διεστῶ-
25 τας ἀπ' ἀλλήλων. ἀλλ' εἰ μὲν διεστᾶσιν ἀπ' ἀλλήλων, 67
ἀκολουθήσει μέρος τι εἶναι τῆς ἐπιπέδου τὸ μὴ κυκλο- 20
γραφούμενον, καὶ τῆς εὐθείας μέρος τὸ κατὰ τούτου μὲν
φερόμενον τοῦ διαστήματος, μὴ κυκλογραφοῦν δέ. ὅπερ
ἐστὶν ἄτοπον. ἢ γὰρ οὐκ ἔχει κατὰ τοῦτο τὸ μέρος ση-
30 μεῖον ἡ εὐθεῖα γραμμή, ἢ ἔχουσα οὐ καταγράφει κύκλον,
ὧν ἑκάτερον παρὰ τὸν γεωμετρικόν ἐστι λόγον· καὶ πᾶν 25
711 γὰρ | μέρος τῆς γραμμῆς σημεῖον ἔχειν φασί, καὶ πᾶν
σημεῖον στρεφόμενον κυκλογραφεῖν. εἰ δὲ συνεχεῖς ἀλλή- 68
λοις ὑπάρχειν οἴονται τοὺς κύκλους, ἤτοι οὕτως εἰσὶ συν-
εχεῖς ὡς τὸν αὐτὸν ἐπέχειν τόπον, ἢ ὥστε ἄλλον παρ'
5 ἄλλον τετάχθαι μηδενὸς σημείου μεταξὺ πίπτοντος· πᾶν 30

§ 65 ~ M IX 418—419 || 66 ~ M IX 420 || 67 ~ M IX 421—422 || 68 ~ M IX 423

12 γραμμικῆς ELVrAB Gen.: γραμμῆς, sed in marg. γρ γραμμικῆς VCR || 15 ἑαυτοῖς VCBR || 16 καταμετρῇ τῇ ἀπὸ G: corr. Bekk. || 17 ἐξωτάτω Bekk. | 25.26 γὰρ om. LVr: καὶ γὰρ πᾶν Gen. Fabr. || 26 ἔχει LVr

γὰρ σημεῖον τὸ μεταξὺ κατ' ἐπίνοιαν πῖπτον ὀφείλει καὶ αὐτὸ κύκλον γράφειν. καὶ εἰ μὲν τὸν αὐτὸν ἐπέχουσι τόπον πάντες, εἷς γενήσεται κύκλος, καὶ διὰ τοῦτο τῷ ἐλαχίστῳ κύκλῳ καὶ πρὸς τῷ κέντρῳ καθεστῶτι ὁ μείζων καὶ ἐξω-
5 τάτω καὶ πάντων περιληπτικὸς καθεστὼς κύκλος ἴσος 10
69 γενήσεται· εἰ γὰρ ὁ μὲν ἐξωτάτω κύκλος καὶ πρὸς αὐτῇ τῇ περιφερείᾳ μεῖζον ἐπέχει διάστημα καὶ ὁ ἐσωτάτω πρὸς τῷ κέντρῳ κύκλος μικρὸν ἐπέχει διάστημα, πάντες δὲ οἱ κύκλοι τὸν αὐτὸν ἐπέχουσι τόπον, ὁ τὸ μεῖζον ἐπέ-
10 χων διάστημα ἴσος γενήσεται τῷ ⟨τὸ⟩ ἐλάχιστον ἐπέ- 15
χοντι διάστημα· ὅπερ ἐστὶν ἀπεμφαῖνον. οὐ τοίνυν οὕτως
70 εἰσὶ συνεχεῖς οἱ κύκλοι ὡς τὸν αὐτὸν τόπον ἐπέχειν. εἰ δὲ παράλληλοι τυγχάνουσιν ὥστε μεταξύ τι μὴ πίπτειν ἀμερὲς σημεῖον, συμπληρώσουσι τὸ ἀπὸ τοῦ κέντρου μέχρι
15 τῆς περιφερείας πλάτος. εἰ δέ γε συμπληρώσουσιν, ἐπέ- 20
χουσί τι πλάτος. ἦσαν δέ γε οὗτοι γραμμαί. αἱ ἄρα γραμμαὶ ἔχουσί τι πλάτος καὶ οὐκ ἀπλατεῖς καθεστήκασιν.

71 Ἀπὸ δὲ τῆς αὐτῆς δυνάμεως ὁρμώμενοι ὁμοιότροπον τῇ προαποδοθείσῃ συνθήσομεν ἐπιχείρησιν. ἐπεὶ γάρ φασι 25
20 τὴν κυκλογραφοῦσαν εὐθεῖαν γραμμὴν δι' ἑαυτῆς τὸν κύκλον καταγράφειν, συνερωτῶντες αὐτοὺς φήσομεν· εἰ ἡ κυκλογραφοῦσα εὐθεῖα γραμμὴ δι' ἑαυτῆς τὸν κύκλον καταγράφειν πέφυκεν, οὐκ ἔστι μῆκος ἀπλατὲς ἡ γραμμή· ἀλλὰ μὴν ἡ κυκλογραφοῦσα εὐθεῖα γραμμὴ δι' ἑαυτῆς
25 τὸν κύκλον καταγράφει, ὡς ἐκεῖνοί φασιν· οὐκ ἄρα μῆ- 30
κός ἐστιν ἀπλατὲς ἡ γραμμή, ὡς ἡμεῖς τοῦτο ἀκόλουθον
72 ὂν ἐκείνοις διδάξομεν. ὅταν γὰρ ἡ ἀπὸ τοῦ κέντρου ἀγομένη | εὐθεῖα στρέφηται καὶ δι' ἑαυτῆς καταγράφῃ κύ- 712
κλον, τότε ἤτοι κατὰ πάντων τῶν μερῶν τοῦ ἐντὸς τῆς
30 περιφερείας πλάτους φέρεται ἡ εὐθεῖα γραμμή, ἢ οὐ κατὰ

§ **69** ~ M IX 424 ‖ **70** ~ M IX 425 ‖ **71** ~ M IX 426 ‖ **72–73** ~ M IX 427

**1.2** *καὶ αὐτὸ* Bekk. cl. *p. 472, 19* (Bekk.): *τὸν αὐτὸν* G ‖ **5** *καὶ* om. E ‖ **10** *ἴσος* E L | *τὸ* add. dub. Bekk. Bury ‖ **15** *συμπληρώσουσι ⟨πλάτος⟩, ἔχουσί* dub. Bekk. ‖ **16** *δ' ἄρα* E ‖ **21** *συνερωτῶντες*—23 *καταγράφειν* om. ς ‖ **25** *καταγράφειν* ς

71a

πάντων ἀλλὰ κατὰ τινῶν. καὶ εἰ μὲν κατὰ τινῶν φέρε-
5 ται, οὐδὲ καταγράφει κύκλον, καθ' ὧν μὲν μερῶν φερο-
μένη καθ' ὧν δὲ οὔ. εἰ δὲ κατὰ πάντων φέρεται, ὅλον τὸ
τῆς περιφερείας καταμετρήσει πλάτος, πλάτος δὲ κατα- 73
μετροῦσα ἕξει πλάτος· τὸ γὰρ τοῦ πλάτους καταμετρη- 5
τικὸν ὀφείλει πλάτος ἔχειν, ᾧ καταμετρεῖ. ἡ ἄρα εὐ-
10 θεῖα γραμμὴ κυκλοφοροῦσα ὅλον καταμετρεῖ τὸ πλάτος,
καὶ οὐκ ἔστι μῆκος ἀπλατὲς ἡ γραμμή.

Τὸ δ' αὐτὸ σαφέστερον δειχθήσεται καὶ ὅταν λέγωσιν 74
οἱ γεωμέτραι τὴν πλάγιον τοῦ τετραγώνου πλευρὰν κατ- 10
αγομένην τὸ παραλληλόγραμμον [καὶ] ἐπίπεδον καταμε-
15 τρεῖν. εἴπερ γὰρ μῆκος ἀπλατές ἐστιν ἡ πλαγία πλευρὰ
τοῦ τετραγώνου καταγομένη, οὐ καταμετρήσει τὸ παραλ-
ληλόγραμμον ἐπίπεδον τοῦ τετραγώνου δι' ἑαυτῆς· τὸ
γὰρ καταμετρητικὸν πλάτους ὀφείλει πλάτος ἔχειν. εἰ δὲ 15
καταμετρεῖ, πάντως πλάτος ἔχει. ὥστε πάλιν ἢ τοῦτο τὸ
20 θεώρημα ψεῦδος εἶναι τοῖς γεωμέτραις, ἢ μηδὲν ὑπάρ-
χειν τὸ νοούμενον μῆκος ἀπλατές.

Τόν τε κύλινδρόν φασι κατ' εὐθεῖαν γραμμὴν ἅπτε- 75
σθαι τῆς ἐπιπέδου καὶ ἐκκυλιόμενον τῇ ἀνὰ μέρος ἄλλων 20
καὶ ἄλλων εὐθειῶν θέσει καταμετρεῖν τὴν ἐπίπεδον. ἀλλ'
25 εἰ καὶ κατ' εὐθεῖαν ἅπτεται τῆς ἐπιπέδου ὁ κύλινδρος
καὶ κυλιόμενος τῇ ἀνὰ μέρος ἄλλων καὶ ἄλλων εὐθειῶν
θέσει καταμετρεῖ τὴν ἐπίπεδον, πάντως καὶ ἡ ἐπίπεδος
συνέστηκεν ἐξ εὐθειῶν καὶ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου πά- 25
λιν ἐξ εὐθειῶν πεπλήρωται. ὅθεν ἐπεὶ ἔχει καὶ ἡ ἐπί- 76
30 πεδος πλάτος καὶ ἡ ἐπιφάνεια τοῦ κυλίνδρου ὁμοίως καὶ
οὐκ ἔστιν ἀπλατής, τὸ δὲ πλάτους ποιητικὸν ὀφείλει καὶ |

§ 74 ~ M IX 428 || 75—76 ~ M IX 429

1 κατὰ om. E || 6 ἡ ἄρα G: εἰ ἄρα ⟨ἡ⟩ Heintz Bury || 7 κυκλο-φοροῦσα G: κυκλογραφοῦσα Heintz Bury: κυκλοπορουσα dub. Bekk. | τὸ πλάτος ⟨καὶ ἔχει πλάτος⟩ Bury || 8 καὶ del. Heintz || 11 καὶ del. Fabr. || 12 γὰρ om. LVr | πλάγιος Bekk. ante πλαγία an inserendum ⟨γραμμή, πάντως καὶ ἡ⟩ dub. Heintz || 13 παρα-μετρήσει L, καταμετρή al. man. suprscr. || 21 ἀλλ' — 24 ἐπίπεδον om. ς || 28 πλάτος ABVR

αὐτὸ πλάτος ἔχειν, δῆλον οὖν ὡς ὅτι καὶ αἱ εὐθεῖαι 713
γραμμαὶ συμπληρωτικαὶ οὖσαι τοῦ πλάτους ἐξ ἀνάγκης
πλάτος ἔχουσιν, ὥστε μηδὲν εἶναι μῆκος ἀπλατές, διὰ δὲ
τοῦτο μηδὲ γραμμήν.

77 Εἰ δὲ καὶ δοίημεν τὴν γραμμὴν μῆκος εἶναι ἀπλατές, 5
6 τὰ ἀκόλουθα τούτοις ἔτι τούτων ἀπορώτερα. ὥσπερ γὰρ
τὸ σημεῖον ῥυὲν ποιεῖ γραμμήν, οὕτω καὶ ἡ γραμμὴ
ῥυεῖσα ποιεῖ ἐπιφάνειαν κατ' αὐτούς, ἥτις ἐστί, φασί, πέ-
ρας σώματος δύο ἔχον διαστάσεις, μῆκος καὶ πλάτος.
78 εἴπερ οὖν ἡ ἐπιφάνεια πέρας ἐστὶ σώματος, τό γε σῶμα 10
11 πάντως πεπερασμένον ἐστίν· καὶ εἰ τοῦτο, ὅτε παρατίθε-
ται δύο σώματα ἀλλήλοις, τότε ἤτοι τὰ πέρατα τῶν περά-
των ἢ τὰ πεπερατωμένα τῶν πεπερατωμένων ἅψεται ⟨ἢ
καὶ τὰ πεπερατωμένα τῶν πεπερατωμένων καὶ τὰ πέρατα
15 τῶν περάτων⟩, οἷον ἐπὶ τοῦ ἀμφορέως, εἰ νοήσαιμεν πέ- 15
ρας μὲν τὸ ἔξωθεν ὄστρακον πεπερατωμένον δὲ τὸν ἐν
79 αὐτῷ οἶνον. δυοῖν οὖν ἀμφορέων παραβληθέντων ἀλλή-
λοις ἤτοι τὸ ὄστρακον τοῦ ὀστράκου ἅψεται ἢ ὁ οἶνος
τοῦ οἴνου ἢ καὶ τὸ ὄστρακον τοῦ ὀστράκου καὶ ὁ οἶνος
20 τοῦ οἴνου. καὶ εἰ μὲν τὰ πέρατα τῶν περάτων ἅπτεται, 20
τὰ πεπερατωμένα ἀλλήλων οὐχ ἅψεται, τουτέστι τὰ σώ-
ματα, ὅπερ ἦν ἀπεμφαῖνον. εἰ δὲ τὰ πεπερατωμένα μὲν
ἀλλήλων ἅψεται, τουτέστι τὰ σώματα, τὰ πέρατα δὲ ἀλ-
λήλων οὐχ ἅψεται, ἐκτὸς ἔσται τὰ σώματα τῶν οἰκείων
80 περάτων. εἰ δὲ καὶ τὰ πέρατα τῶν περάτων ἅπτεται καὶ 25
26 τὰ πεπερατωμένα τῶν πεπερατωμένων, ἐπισυνθήσομεν
τὰς ἀπορίας· ᾗ μὲν γὰρ τὰ πέρατα ἀλλήλων ἅπτεται, τὰ
πεπερατωμένα οὐχ ἅψεται ἀλλήλων, ᾗ δὲ τὰ πεπερατω-
μένα, ἐκτὸς ἔσται τὰ σώματα τῶν οἰκείων περάτων, ἐπεὶ
30 πέρας μέν ἐστιν ἡ ἐπιφάνεια, πεπερασμένον δὲ τὸ σῶμα. 30
81 τά τε πέρατα σώματά ἐστιν ἢ ἀσώματα. καὶ εἰ μὲν σώ-

§ **77** ~ M IX 430 || **78—79** ~ M IX 431 || **79** ~ M IX 432 || **80** ~ M IX 433—434 || **81** ~ M IX 434—435

**1** *αἱ* om. VC || **6** *ἔτι* Bekk.: *ἔστι* G: adhuc Herv. || **10** *γε* Bekk.: *δὲ* G || **13** *ἢ* — 15 *περάτων* add. Bekk. cl. *p. 474, 19* (Bekk.) || **17** *δυεῖν* ubique EL || **19** *ἢ καὶ* — 20 *οἴνου* om. C || **22** *μᾶλλον* pro *μὲν* ς

713 ματά ἐστι, ψεῦδος ἔσται τοῖς γεωμέτραις τὸ ἀβαθῆ εἶναι
714 τὴν ἐπιφάνειαν. | εἰ γὰρ σῶμά ἐστιν, ἐξ ἀνάγκης ἕξει καὶ
βάθος· πᾶν γὰρ σῶμα ὀφείλει βάθος ἔχειν. εἶτα οὐδὲ
ἅψεταί τινος, ἀλλὰ πᾶν ἔσται ἀπειρομέγεθες. εἰ γὰρ σῶμά
ἐστιν, ἐπεὶ πᾶν σῶμα πέρας ἔχει, κἀκεῖνο τὸ πέρας σῶμα 5
5 ὂν ἕξει πέρας, κἀκεῖνο ὁμοίως, καὶ τοῦτ' εἰς ἄπειρον. εἰ 82
δὲ ἀσώματόν ἐστι τὸ πέρας, ἐπεὶ τὸ ἀσώματον οὐδενὸς
δύναται θιγεῖν οὐδὲ θιχθῆναι, τὰ πέρατα οὐχ ἅψεται ἀλ-
λήλων, τούτων δὲ μὴ ἁπτομένων οὐδὲ τὰ πεπερατωμένα
ἅψεται ἀλλήλων. κἂν δῶμεν οὖν εἶναι μῆκος ἀπλατὲς τὴν 10
10 γραμμήν, ὁ περὶ τῆς ἐπιφανείας λόγος ἄπορός ἐστιν. οἷς,
κἂν ἡμεῖς μὴ λέγωμεν, ἀπόροις οὖσι συναναιρεῖται καὶ
τὸ στερεὸν σῶμα, ἐκ τούτων σύνθετον καθεστώς.

Σκοπῶμεν δὲ καὶ οὕτως· εἰ γὰρ σῶμά ἐστιν, ὥς φασιν 83
15 οἱ γεωμέτραι, τὸ τὰς τρεῖς ἔχον διαστάσεις, μῆκος πλάτος 15
βάθος, ἤτοι χωριστόν ἐστι τούτων τὸ σῶμα, ὥστε ἄλλο
μὲν εἶναι τὸ σῶμα ἄλλο δὲ τὸ μῆκος τοῦ σώματος πλάτος
τε καὶ βάθος, ἢ ὁ ἀθροισμὸς τούτων ἐστὶ τὸ σῶμα. ἀλλὰ
χωρίζεσθαι μὲν τούτων τὸ σῶμα οὐ πιθανόν ἐστιν· ὅπου
20 γὰρ μήτε μῆκός ἐστι μήτε πλάτος μήτε βάθος, ἐκεῖ οὐχ 20
οἷόν τε νοῆσαι σῶμα· εἰ δὲ ὁ ἀθροισμὸς τούτων νοεῖται 84
σῶμα καὶ ἄλλο παρὰ ταῦτα οὐδὲν ὑπάρχει, ἐξ ἀνάγκης,
ἐπεὶ ἕκαστον τούτων ἀσώματόν ἐστι, καὶ ἡ κοινὴ τῶν
ἀσωμάτων σύνοδος γενήσεται ἀσώματος. ὥσπερ γὰρ καὶ
25 ἡ σύνθεσις τῶν στιγμῶν καὶ ἡ σύνοδος τῶν γραμμῶν 25
ἀσωμάτων φύσει καθεστηκυιῶν οὐ ποιεῖ στερεὸν καὶ ἀντί-
τυπον σῶμα, οὕτω καὶ ἡ τοῦ πλάτους καὶ ἡ τοῦ μήκους
ἔτι δὲ καὶ ἡ τοῦ βάθους συνέλευσις ἀσώματος οὖσα οὐκ
ἂν ποιήσαι στερεὸν καὶ ἀντίτυπον σῶμα. εἰ δὲ μήτε χωρὶς
30 τούτων ἐστὶ τὸ σῶμα μήτε ταῦτ' ἐστιν, ἀνεπινόητον, 30
ὅσον ἐπὶ τοῖς γεωμέτραις, γίνεται τὸ σῶμα.

**§ 82** ~ M IX 435—436 || **83** cf. M IX 367—369 || **84** ~ M IX 369—370

**8** *θίγειν* G (ubique) || **12** *συναπορεῖται* Bekk. || **15.16** *μῆκος βάθος καὶ πλάτος* ς || **24** *καὶ* post *γὰρ* om. Bekk. || **27** *οὕτω* — **29** *σῶμα* om. VC Herv. || **29** *στερρὸν* ELVr

85 Πρὸς τούτοις, εἴπερ μήκους καὶ πλάτους καὶ βά|θους 715
σύνοδος ποιεῖ σῶμα, ἤτοι πρὶν τῆς συνόδου ἕκαστον τού-
των νοεῖται περιέχον ἐν ἑαυτῷ τὴν σωματότητα καὶ τοὺς
ὥσπερ σωματικοὺς λόγους, ἢ μετὰ τὴν τούτων συνέλευσιν
5 ἐπισυνέστη τὸ σῶμα. καὶ εἰ μὲν ἕκαστον τούτων πρὶν τῆς 5
συνόδου νοεῖται περιεκτικὸν τῆς σωματότητος, ἔσται τού-
των ἕκαστον σῶμα καὶ οὐ μετὰ τὴν σύνοδον αὐτῶν ἐκεῖνο
86 γενήσεται. εἶτ' ἐπεὶ τὸ σῶμα οὐ μῆκος μόνον ἐστίν,
οὐδὲ πλάτος κατ' ἰδίαν, οὐδὲ βάθος κατὰ περιγραφήν,
10 ἀλλ' ὁμόσε τὰ τρία, καὶ μῆκος καὶ πλάτος καὶ βάθος, 10
τούτων τε ἕκαστον περιεῖχε τὴν σωματότητα, ἕκαστον
αὐτῶν ἕξει τὰ τρία, καὶ τὸ μῆκος οὐ μόνον ἔσται μῆκος
ἀλλὰ καὶ πλάτος καὶ βάθος, καὶ τὸ πλάτος οὐ μόνον
ἔσται πλάτος ἀλλὰ καὶ μῆκος καὶ βάθος, καὶ τὸ βάθος
15 ὁμοίως ἔσται καὶ πλάτος καὶ μῆκος. ὅπερ τελέως ἐστὶν 15
87 ἀλογώτατον. εἰ δὲ συνελθόντων τούτων τότε νοεῖται ἡ
σύστασις τοῦ σώματος, ἤτοι συνελθόντων αὐτῶν μένει ἡ
ἀρχῆθεν φύσις τοῦ ⟨μὲν⟩ μήκους ὡς μήκους, τοῦ δὲ πλά-
τους ὡς πλάτους, τοῦ δὲ βάθους ὡς βάθους, ἢ μετα-
88 βέβληκεν εἰς τὴν σωματότητα. καὶ εἰ μὲν μένει ἡ ἀρχῆ- 20
21 θεν αὐτῶν φύσις, ἐπεὶ ἀσώματά ἐστιν, οὐδὲ διάφορον
ποιήσει σῶμα, ἀλλὰ καὶ μετὰ τὴν σύνοδον ἀσώματα με-
89 νεῖ, τὴν φύσιν ὄντα ἀσώματα. εἰ δὲ συνελθόντα μετα-
βάλλει εἰς τὴν σωματότητα, ἐπεὶ τὸ ἐπιδεχόμενον μετα-
25 βολὴν εὐθέως ἐστὶ σῶμα, ἕκαστον τούτων καὶ πρὶν τῆς
εἰς ταὐτὸ συνόδου ἔσται σῶμα, οὕτω τε καὶ τὸ ἀσώμα- 25
τον γενήσεται σῶμα. ὥσπερ τε τὸ σῶμα μεταβάλλον ἄλ-
λην μὲν ἀντ' ἄλλης ἔχει ποιότητα, μένει δὲ οὐδὲν ἧσσον
σῶμα, οἷον τὸ λευκόν, ἵνα μέλαν γένηται, καὶ τὸ γλυκύ,
30 ἵνα πικρόν, καὶ ὁ οἶνος, ἵνα ὄξος, καὶ ὁ μόλιβδος, ἵνα

§ 85 ∼ M IX 371 || 86 ∼ M IX 372 || 87 ∼ M IX 373 || 88—90 ∼ M IX 374—375

14 καὶ μῆκος καὶ πλάτος ς || 16 τότε — 17 αὐτῶν om. E || 18 μὲν add. Bekk. || 21 ἀσώματος G: corr. Bekk. || 26 ταὐτὸν ELVr || 27 τε om. VC || 29 ὅτι τὸ σῶμα δέχεται μεταβολὴν μένει δὲ οὐδὲν ἧττον σῶμα inf. marg. L

715
30 ψιμμύθιον, καὶ ὁ χαλκός, ἵνα ἰός, ἄλλην μὲν ἀντ' ἄλλης
ἀναδέχεται ποιότητα, οὐκ ἐκβαίνει δὲ τοῦ σώματα εἶναι, 90
716 ἀλ|λὰ καὶ τὸ μέλαν, ὅτε ἐκ λευκοῦ γέγονε μέλαν, καὶ τὸ
πικρόν, ὅτε ἐκ τοῦ γλυκέος γέγονε πικρόν, καὶ τὸ ὄξος,
ὅτε ἐκ τοῦ οἴνου γέγονεν ὄξος, μένει σώματα, οὕτω καὶ 5
ταῦτα, εἴπερ μεταβάλλει εἰς σώματα, ἄλλα μὲν ἀντ' ἄλ-
5 λων ἔσται σώματα, σώματα δὲ οὐδὲν ἧττον· οὐ γὰρ
ἐκβήσεται τὴν ἰδίαν φύσιν. εἰ οὖν οὔτε πρὶν τῆς συνελεύ-
σεως τούτων ἔστι νοῆσαι τὸ σῶμα οὔτε μετὰ τὴν συν-
έλευσιν αὐτῶν, παρὰ δὲ ταῦτα οὐκ ἔστιν ἄλλως ἐπινοῆ- 10
σαι, οὐδέν ἐστι σῶμα. πρὸς δὲ τούτοις, εἰ μηδέν ἐστι 91
10 μῆκος μηδὲ πλάτος μηδὲ βάθος, οὐδὲ τὸ κατὰ μετουσίαν
τούτων νοούμενον ἔσται σῶμα· οὐχὶ δέ γε μῆκος ἔστιν
οὐδὲ πλάτος οὐδὲ βάθος, ὡς διὰ τῶν ἔμπροσθεν παρεμυ-
θησάμεθα· οὐδὲ τὸ κατὰ μετουσίαν ἄρα τούτων νοούμε- 15
νον ἔσται σῶμα.

15 Τὰς μὲν οὖν γεωμετρικὰς ἀρχὰς οὕτω συμβέβηκεν ἀν- 92
υποστάτους εἶναι· τούτων δὲ ἀναιρουμένων οὐδὲ ἄλλο τι
γεωμετρικὸν θεώρημα συστῆναι δύναται. ὁποῖον γὰρ ἂν
ᾖ τοῦτο, γραμμικῶς ὀφείλει ἀποδείκνυσθαι, ἐδείξαμεν 20
δὲ ἡμεῖς ὅτι οὐδέν ἐστιν ἡ γενικὴ γραμμή, ᾧ ἀκολουθεῖ
20 μηδὲ τῶν ἐπ' εἴδους τινὰ ὑπάρχειν, ἐάν τε εὐθεῖάν τις
ταύτην ὑποτίθηται ἐάν τε κεκλασμένην ἐάν τε ἄλλως πως
ἔχουσαν. ὅθεν ἤρκει μὲν ἴσως ἐν τούτοις περατοῦν τὴν 93
πρὸς τοὺς γεωμέτρας ἀντίρρησιν· ὅμως δὲ ἐπαγωνιζόμε- 25
νοι πειρασόμεθα διδάσκειν ὅτι κἂν τῶν ἀρχῶν ἀποστῶμεν
25 τῶν τῆς γεωμετρίας, οὐ δύνανται θεώρημα συστῆσαι οἱ
γεωμέτραι οὐδ' ἀποδεῖξαι. καίτοι πρὶν τούτων καὶ πρὸς 94
τὰς ὑποβεβηκυίας αὐτῶν ἀρχὰς οὐκ ὀλίγα δυνατόν ἐστι
λέγειν, οἷον ὅταν φῶσιν εὐθεῖαν εἶναι γραμμὴν τὴν ἐξ 30
ἴσου τοῖς ἑαυτῆς μέρεσι κειμένην. ἵνα γὰρ τὰ ἄλλα παρ-

§ 91 ~ M IX 375 || 94 *φῶσιν* Euclid. el. I def. 4

**1** *ἀπ' ἄλλῆς* G: corr. Bekk. || **3** *ἀλλὰ* — **5** *σώματα* om. ς || **6** *εἰς σώματα* del. Bury || **7** *ἀσώματα, ἀσώματα* ci. Heintz, sed cf. *p. 464, 16* sqq. (Bekk.) || **10** *ἔνεστιν* VCBR, marg. ms. editionis Gen. || **13** [*σῶμα*] Harder: an *σῶμα ἔσται*? || **29** *ἀποβεβηκυίας* AB

716
ὦμεν, ἐκεῖνο μὲν συμφανές ἐστιν ὅτι τῆς γενικῆς γραμ- 30
μῆς μὴ οὔσης οὐδὲ εὐθεῖα γραμμὴ γένοιτ' ἄν· ὡς γὰρ
ζῴου μὴ ὄντος οὐδὲ ἄνθρωπος ἔστι καὶ ἀνθρώπου μὴ
| ὄντος οὐδὲ Σωκράτης ἔστιν, οὕτω τῆς γενικῆς ἀναιρου- 717
5 μένης γραμμῆς συνανῄρηται καὶ ἡ ἐπίπεδος εὐθεῖα γραμ-
95 μή. εἶτα καὶ τὸ ἴσον λέγεται διχῶς, κατὰ ἕνα μὲν τρόπον
τὸ ἰσομέγεθες καὶ μήτε ὑπερέχον ἐκείνου τοῦ ᾧ λέγεται
ἴσον μήτε ὑπερεχόμενον, καθὸ καὶ τὸ πηχυαῖον ξύλον 5
ἴσον εἶναι λέγομεν τῷ πηχυαίῳ, καθ' ἕτερον δὲ τὸ ἔχον
10 ἐξ ἴσου τὰ μέρη κείμενα, τουτέστι τὸ ὁμαλόν· οὕτω γοῦν
96 τὸ 'ἴσον' ἔδαφος καλοῦμεν ἀντὶ τοῦ 'ὁμαλόν'. διχῶς οὖν τοῦ
ἴσου προσαγορευομένου, ὅταν οἱ γεωμέτραι τὴν εὐθεῖαν
γραμμὴν ὑπογράφοντες φῶσιν 'εὐθεῖά ἐστι γραμμὴ ἡ ἐξ 10
ἴσου τοῖς ἑαυτῆς μέρεσι κειμένη', ἤτοι τὸ κατὰ τὸ πρῶ-
15 τον σημαινόμενον λαμβάνουσιν ἴσον ἢ τὸ κατὰ τὸ δεύτε-
ρον. ἀλλ' εἰ μὲν τὸ κατὰ τὸ πρῶτον, τελέως εἰσὶν ἀνόη-
τοι· οὐδένα γὰρ ἔχει νοῦν τὸ εὐθεῖαν εἶναι γραμμὴν τὴν
ἰσομεγέθη τοῖς ἑαυτῆς μέρεσι καὶ μήτε ὑπερέχουσαν ταῦ- 15
97 τα μήτε ὑπερεχομένην ὑπὸ τούτων. εἰ δὲ τὸ κατὰ τὸ
20 δεύτερον, δι' αὐτοῦ τοῦ ζητουμένου διδάξουσιν, εἴγε ὅτι
μέν ἐστιν εὐθεῖα παριστᾶσιν ἐκ τοῦ ὁμαλῶς τε καὶ ἐπ'
εὐθείας ἔχειν κείμενα τὰ μέρη, τὸ δὲ ἐπ' εὐθείας τι κεῖ- 20
98 σθαι οὐκ ἔστι μαθεῖν μὴ ἐπιβαλόντας τῇ εὐθείᾳ. πολλῷ
δὲ ἀτοπώτατοι τυγχάνουσι κἀκείνως ὁριζόμενοι 'εὐθεῖά
25 ἐστιν ἥτις ἐξ ἴσου τοῖς ἑαυτῆς πέρασι στρέφεται' ἢ οὕ-
τως 'ἥτις περὶ τὰ ἑαυτῆς πέρατα στρεφομένη πᾶσι τοῖς
ἑαυτῆς μέρεσιν ἅπτεται τοῦ ἐπιπέδου.' πρῶτον μὲν γὰρ
καὶ αὗται αἱ ἀποδόσεις ὑποπίπτουσι ταῖς πρότερον ἡμῖν 25
εἰρημέναις ἀπορίαις· εἶτα, καθὼς καὶ οἱ Ἐπικούρειοί
30 (fr. 273 a p. 351 Us.) φασιν, ἡ τοῦ κενοῦ εὐθεῖα εὐθεῖα
μέν ἐστιν, οὐ στρέφεται δὲ διὰ τὸ καὶ αὐτὸ τὸ κενὸν
99 μήτε ὅλον μήτε κατὰ μέρος κίνησιν ἐπιδέχεσθαι. ἡ μὲν

**6** ἴσον ELV (ubique) || **8** καθ' ὃν dub. Bekk. || **13** γραφὴν ABR et marg. VC exemplarisque edd. Genevensium || **20** δι' αὐτοῦ τὸ ζητούμενον Heintz Bury: -μένου⟨τὸ ζητούμενον⟩ διδ. Theiler | ὅτι edd.: ὁ ELVr: ἡ ς || **28** καὶ om. ς | αἱ om. AB || **29** εἰρημέναις ἡμῖν ς edd.

717
30 γὰρ ἐπὶ τέλει ἀπόδοσις καὶ εἰς τὸν δι' ἀλλήλων ἐμπίπτει
τρόπον, ὅς ἐστι μοχθηρότατος. τό τε γὰρ ἐπίπεδον διὰ
718 τῆς εὐθείας διδάσκουσι | τήν τ' εὐθεῖαν διὰ τοῦ ἐπιπέ-
δου· εὐθεῖαν γάρ εἶναί φασιν ἥτις εἰς πάντα τὰ
μέρη τοῦ ἐπιπέδου ἅπτεται, ἐπίπεδον δὲ τυγχάνειν δι' οὗ 5
ἡ καταγομένη εὐθεῖα πᾶσι τοῖς μέρεσιν ἅπτεται, ὥσθ'
5 ἵνα μὲν τὴν εὐθεῖαν μάθωμεν, πρῶτον τὸ ἐπίπεδον μα-
θεῖν δεῖ, ἵνα δὲ τοῦτο, ἀναγκαῖον προεγνωκέναι τὴν εὐ-
θεῖαν· ὅπερ ἄτοπον. καθόλου τε ὁ διὰ τοῦ ἐπιπέδου τὴν
εὐθεῖαν διδάσκων οὐδὲν ἄλλο ποιεῖ ἢ δι' εὐθείας τὴν 10
εὐθεῖαν παρίστησιν, ἐπείπερ τὸ ἐπίπεδον πολλαί εἰσιν εὐ-
θεῖαι κατ' αὐτούς.

10 Οἷος δέ ἐστιν ὁ περὶ τῆς εὐθείας λόγος, τοιοῦτος γέ- 100
νοιτ' ἂν καὶ ὁ περὶ τῆς γωνίας. πάλιν γὰρ ὅταν ὑπογρά-
φοντες λέγωσιν ὅτι γωνία ἐστὶ δυοῖν εὐθειῶν μὴ κατάλ- 15
ληλα κειμένων τὸ ὑπὸ τὴν κλίσιν ἐλάχιστον, ἤτοι ἐλάχι-
στον λέγουσι τὸ ἀμερὲς σῶμα ἢ τὸ κατ' αὐτοὺς σημεῖον
15 καὶ στιγμήν. ἀλλὰ τὸ μὲν ἀμερὲς σῶμα οὐκ ἂν εἴποιεν, 101
ἐπείπερ τοῦτο μὲν οὐδ' εἰς δύο μέρη δύναται διαιρεῖσθαι,
ἡ δὲ γωνία κατ' αὐτοὺς ἐπ' ἄπειρον τέμνεται. καὶ ἄλλως, 20
τῆς γωνίας ἣν μὲν μείζονά φασιν εἶναι ἣν δὲ μικροτέραν·
τοῦ δὲ ἐλαχίστου σώματος οὐδέν ἐστι βραχύτερον, ἐπεὶ
20 ἐκεῖνο ἀλλ' οὐ τοῦτο γενήσεται ἐλάχιστον. λείπεται ἄρα 102
τὸ κατ' αὐτοὺς σημεῖον εἶναι λέγειν· ὃ καὶ αὐτὸ τῶν
ἀπόρων. εἰ γὰρ πάντῃ πανταχῶς ἀδιάστατόν ἐστι τὸ 25
σημεῖον, οὐ διαιρεθήσεται ἡ γωνία. καὶ μὴν οὐδὲ μείζων
τις ἔσται ἢ ἐλάσσων γωνία· ἐν γὰρ τοῖς μηδεμίαν ἔχουσι
25 διάστασιν οὐκ ἂν εἴη τις κατὰ μέγεθος διαφορά. ἄλλως 103
τε, εἰ μεταξὺ τῶν εὐθειῶν πίπτει τὸ σημεῖον, διορίζει
τὰς εὐθείας, διορίζον δὲ οὐκ ἔσται ἀδιάστατον. νὴ Δία, 104
ἀλλ' εἰώθασί τινες ἐξ αὐτῶν γωνίαν λέγειν τὸ ὑπὸ τὴν 31
κλίσιν πρῶτον διάστημα. πρὸς οὓς

§ **100** *γωνία ἐστίν* similes deff. Eucl. el. I def. 8 et Procli comm. ad l. p. 125, 18 Friedlein

**4** *⟨μὲν⟩ γὰρ* Bekk. || **10** *διδάσκων* — 11 *εὐθεῖαν* et **11** *εὐθεῖαι* — 13 *λόγος* om. C || **18** [*καὶ στιγμήν*] Harder | *εἴπαιεν* LVr

718
ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. (Eur. Ph. 469) 30
ἤτοι γὰρ ἀμερές ἐστι τὸ διάστημα τοῦτο ἢ μεριστόν. ἀλλ'
εἰ μὲν ἀμερές, αἱ προειρημέναι τῶν ἀποριῶν ἀκολουθή-
|σουσιν αὐτοῖς, εἰ δὲ μεριστόν, οὐδὲν ἔσται πρῶτον· τοῦ 719
5 γὰρ ὑποσταθέντος πρώτου ἕτερον εὑρεθήσεται πρότερον
διὰ τὴν ἀρεσκομένην αὐτοῖς εἰς ἄπειρον τῶν ὄντων τομήν.

105 Ἐῶ λέγειν ὅτι καὶ ἄλλῃ τινὶ τεχνολογίᾳ μάχεται ἡ
τοιαύτη τῶν γωνιῶν νόησις. διαιρούμενοι γάρ φασι τῆς 5
γωνίας τὴν μέν τινα εἶναι ὀρθὴν τὴν δὲ ἀμβλεῖαν τὴν
10 δὲ ὀξεῖαν, καὶ τῆς μὲν ἀμβλείας ἄλλην καὶ ἄλλην μᾶλλον
106 ἀμβλυτέραν εἶναι, ὡσαύτως δὲ καὶ τῆς ὀξείας. εἰ δὴ γω-
νίαν φαμὲν τὸ ἐλάχιστον ὑπὸ τὴν κλίσιν διάστημα, οὐ
σωθήσονται αἱ τοιαῦται τῶν γωνιῶν διαφοραί, παρόσον 10
ὑπερέχουσί τε ἀλλήλας καὶ ὑπερέχονται ὑπ' ἀλλήλων. ἢ
15 εἴπερ [οὐ] σῴζονται, ἀναιρεῖται ἡ γωνία, μὴ ἔχουσα ἑστη-
κὸς μέτρον ᾧ διαγνωσθήσεται.

Περὶ μὲν οὖν εὐθείας γραμμῆς καὶ γωνίας τοιαῦτα ῥη-
107 τέον πρὸς αὐτούς· ὁριζόμενοι δὲ καὶ τὸν κύκλον φασὶ 15
'κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περι-
20 εχόμενον, πρὸς ἣν αἱ ἀπὸ τοῦ κέντρου προσπίπτουσαι
εὐθεῖαι ἴσαι εἰσὶν ἀλλήλαις' ματαιάζοντες· τοῦ γὰρ ση-
μείου καὶ τῆς γραμμῆς καὶ τῆς εὐθείας καὶ ἔτι τοῦ ἐπι-
πέδου [καὶ ⟨τῆς⟩ γωνίας] ἀνῃρημένων οὐδὲ κύκλος ἐπι- 20
νοηθῆναι δύναται.

108 Ἀλλ' ἵνα μὴ δοκῶμεν σοφιστικοί τινες εἶναι καὶ τὴν
26 σύμπασαν τῆς ἀντιρρήσεως κατασκευὴν ἐν μόναις καταν-
αλίσκειν ταῖς τῆς γεωμετρίας ἀρχαῖς, φέρε μετελθόντες,
ὡς πρότερον (§ 93) ὑπεσχόμεθα, καὶ τὰ μετὰ τὰς ἀρχὰς 25
109 αὐτῶν θεωρήματα ἐπισκεψώμεθα. ὅταν οὖν λέγωσι τὴν
30 δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν, ἤτοι τὴν ἐπὶ τοῦ ἄβακος
διδομένην λέγουσι διχοτομεῖν ἢ τὴν ἀπὸ ταύτης κατὰ

§ **107** ~ M IX 284 | *κύκλος ἐστὶ* Eucl. el. I def. 15 || **109** ~ M IX 282 | *δίχα τεμεῖν* Eucl. el. I prop. 10

**14** *ἀπ'* AB || **15** *οὐ* del. Fabr. || **21** *ματάζοντες* ELVr et cod. editorum Gen. in marg. || **23** [ ] Harder: ⟨ ⟩ Bekk. || **31** *δεδομένην* AB Fabr. Gen.

719 μετάβασιν νοουμένην. οὔτε δὲ τὴν ἐπὶ τοῦ ἄβακος δοθεῖ-
30 σαν διχοτομεῖν ἐροῦσιν· αὕτη μὲν γὰρ μῆκος καὶ πλάτος
αἰσθητὸν ἔχειν φαίνεται, ἡ δὲ κατ' αὐτοὺς εὐθεῖα γραμμὴ
μῆκός ἐστιν ἀπλατές, ὥστε μὴ οὖσα κατ' αὐτοὺς
720 [ἡ] γραμμὴ | ἡ ἐπὶ τοῦ ἄβακος οὐδὲ δίχα τμηθήσεται 5
ὡς γραμμή. καὶ μὴν οὐδὲ ἡ ἀπὸ ταύτης κατὰ μετάβασιν 110
νοουμένη. ὑποκείσθω γὰρ λόγου χάριν ἐξ ἐννέα στιγμῶν
συνεστῶσα, ἀφ' ἑκατέρου μὲν τῶν ἄκρων τεσσάρων καὶ
5 τεσσάρων ἀριθμουμένων, μιᾶς δὲ τὰς δύο τετράδας μεσο-
λαβούσης στιγμῆς. οὐκοῦν εἰ δίχα τέμνεται ἡ ὅλη γραμμή, 10
ἤτοι μεταξὺ ταύτης τῆς πέμπτης στιγμῆς καὶ τῆς ἑτέρας
τετράδος ἐνεχθήσεται τὸ τέμνον, ἢ κατ' αὐτῆς τῆς πέμ-
πτης, ὥστε καὶ αὐτὴν διχάζειν. τὸ μὲν οὖν μεταξὺ τῆς 111
10 πέμπτης στιγμῆς καὶ τῆς ἑτέρας τετράδος φέρεσθαι τὸ
τέμνον τῶν ἀλόγων· γενήσεται γὰρ ἄνισα τὰ τμήματα, 15
καὶ τὸ μὲν ἐκ τεσσάρων στιγμῶν συγκείμενον τὸ δὲ
ἐκ πέντε. τὸ δὲ αὐτὴν διχάζειν τὴν στιγμὴν πολλῷ τοῦ
προτέρου ἀλογώτερον οὐκέτι γὰρ ἀδιάστατον ἀπολεί-
15 ψουσι τὸ σημεῖον, ὅ γε διχάζεται πρὸς τοῦ τέμνοντος.
ὁ δὲ αὐτὸς λόγος καὶ ἐπειδὰν φῶσι τὸν κύκλον εἰς ἴσα 112
τέμνειν. εἰ γὰρ ὁ κύκλος εἰς ἴσα τέμνεται, πάντως ἐπεὶ 21
μεσαίτατον ἔχει τὸ κέντρον, ὃ καὶ αὐτό ἐστι σημεῖον,
ἤτοι τῷδε τῷ τμήματι ἢ τῷδε [τινι] προσμερισθήσεται,
20 ἢ καὶ αὐτὸ δίχα τμηθήσεται. ἀλλὰ τὸ μὲν τῷδε ἢ τῷδε
προσμερισθῆναι ἄνισον τὴν διχοτόμησιν ποιεῖ, τὸ δὲ καὶ 25
αὐτὸ διχοτομεῖσθαι μαχόμενόν ἐστι τῷ ἀδιάστατον
καὶ ἀμερὲς ὑπάρχειν τὸ σημεῖον. τό τε τέμνον τὴν 113
γραμμὴν ἤτοι σῶμά ἐστιν ἢ ἀσώματον. οὔτε δὲ σῶμα
25 δύναται τυγχάνειν· ἀθιγὲς γάρ τι καὶ ἀσώματον καὶ μὴ
ὑποπῖπτον αὐτῷ οὐκ ἂν τέμοι· οὔτε ἀσώματον, τουτὶ γὰρ 30
πάλιν εἰ μὲν στιγμή ἐστι, τῷ ἀμερὴς εἶναι καὶ κατὰ

§ 110—113 ~ M IX 283—289

5 ἡ[1] an del. dub. Bekk., probat Harder | ἡ[2] om. ABVC || 20 et 21 ἴσα (ut ubique) EL || 23 τινι del. Bekk. || 29 ἀμερὲς γὰρ G: corr. Heintz (accusativi!)

ἀμεροῦς πίπτειν οὐκ ἂν τέμοι, εἰ δὲ γραμμή, πάλιν ἐπεὶ
τῷ πέρατι ἑαυτῆς ὀφείλει τέμνειν, τὸ δὲ πέρας αὐτῆς
114 ἐστιν ἀμερές, οὐ τέμνει. ἄλλως τε τὸ τέμνον πέρας ἤτοι 30
μέσον τῶν δυοῖν στιγμῶν πῖπτον διχοτομεῖ τὴν γραμμήν,
5 ἢ κατὰ μέσου φερόμενον τοῦ σημείου. ἀλλὰ τὸ μὲν κατὰ
| μέσου φέρεσθαι τοῦ σημείου τῶν ἀδυνάτων· δεήσει γάρ, 721
ὡς πρότερον (§ 111 sq.) ἐλέγομεν, τὸ καθ' οὗ φέρεται με-
115 ριστὸν εἶναι καὶ μηκέτι ἀδιάστατον τυγχάνειν. μεταξὺ δὲ
τῶν δυοῖν στιγμῶν φέρεσθαι πολλῷ ἀλογώτερον. πρῶτον
10 μὲν γὰρ οὐδὲν δύναται μεταξὺ συνεχείας μέσον πεσεῖν 5
πέρας· εἶτα κἂν δοθῇ τὸ τοιοῦτον ὡς δυνατόν, ὀφείλει
μετακινεῖν τὰ ὧν μεταξὺ τάσσεται, εἴπερ ἐστὶ συνεχῆ·
ταῦτα δ' ἐστὶν ἀκίνητα. τοίνυν ἄπορος καὶ ὁ περὶ
116 τοῦ τέμνοντός ἐστι λόγος. οὐ μὴν ἀλλὰ κἂν δῶμεν αὐ-
15 τοῖς τὰς ἀφαιρέσεις ποιεῖσθαι ἐπὶ τῶν αἰσθητῶν τούτων 10
γραμμῶν, οὐ δυνήσονται οὐδ' οὕτως εὐοδῆσαι. ἢ γὰρ ἀφ'
ὅλης τῆς γραμμῆς ἡ ἀφαίρεσις γενήσεται ἢ ἀπὸ μέρους,
καὶ τὸ ἀφαιρούμενον ἢ ἴσον ἀπὸ ἴσου ἢ ἄνισον ἀπὸ ἀνίσου
[ἢ ἐναλλὰξ] γενήσεται· οὐδὲν δὲ τούτων ἐστὶν εὔπορον,
20 ὡς ἐν τῷ Πρὸς τοὺς γραμματικοὺς (M I 162) καὶ ἐν τῷ 15
Πρὸς τοὺς φυσικοὺς (M IX 279 et 294) ὑπομνήματι παρ-
εστήσαμεν· οὐκ ἄρα δυνατόν ἐστι τοῖς γεωμέτραις ἀφαι-
ρεῖν τι καὶ τέμνειν ἀπὸ γραμμῆς.

**§ 114** ~ M IX 290 || **115** ~ M IX 291—293 || **116** ~ M IX 294

**1** *ἡ δὲ γρ.* ELVr || **5** *μέσον* EVrς || **7.8** *τὸ καθόλου φέρεσθαι μεριστὸν ἐὰν ᾖ μηκέτι ἀδιάστατον τυγχάνῃ* G: correxit Bury post Bekk. || **18** *τοῦ ἴσου* VC | *τοῦ ἀνίσου* C || **19** *ἢ ἐναλλάξ* del. Heintz Bury || **23** *σέξτου ἐμπειρικοῦ πρὸς γεωμέτρας· σέξτου ἐμπειρικοῦ πρὸς ἀριθμητικούς* tit. G

## *ΠΡΟΣ ΑΡΙΘΜΗΤΙΚΟΥΣ*

*Ἐπειδὴ τοῦ ποσοῦ τὸ μέν ἐστιν ἐν τοῖς συνεχέσι σώ-*
20 *μασιν, ὃ δὴ μέγεθος καλεῖται, περὶ ὃ ἐστι μάλιστα ἡ*
*γεωμετρία, τὸ δὲ ἐν διεστῶσιν, ὅπερ ἀριθμὸς καθέστη-*
*κεν, περὶ ὃν ἡ ἀριθμητικὴ καταγίνεται, σκοπῶμεν ἀπὸ*
*τῶν γεωμετρικῶν τε ἀρχῶν καὶ θεωρημάτων μετελθόν-* 5
*τες καὶ τὰ περὶ ἀριθμοῦ· τούτου γὰρ ἀναιρεθέντος οὐδ'*
25 *ἡ περὶ αὐτὸν συνισταμένη γενήσεται τέχνη.*

*Καθόλου μὲν οὖν οἱ ἀπὸ τῶν μαθημάτων Πυθαγορι-* 2
*κοὶ μεγάλην ἀπονέμουσι δύναμιν τοῖς ἀριθμοῖς ὡς τῆς*
*τῶν ὅλων φύσεως κατ' αὐτοὺς διοικουμένης. ὅθεν καὶ ἀεί* 10
*ποτε ἐπεφώνουν τὸ* (Simpl. in Arist. phys. p. 1102, 22 Diels)

30 *ἀριθμῷ δέ τε πάντ' ἐπέοικεν,*

722 | *ὀμνύοντες οὐ μόνον τὸν ἀριθμὸν ἀλλὰ καὶ τὸν ὑποδεί-*
*ξαντα αὐτοῖς τοῦτον Πυθαγόραν ὡς θεὸν διὰ τὴν ἐν ἀριθ-*
*μητικῇ δύναμιν, λέγοντες* 15

*οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,*
5 *παγὰν ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν.* (B 15 Diels)

*τετρακτὺς δὲ προσηγορεύετο παρ' αὐτοῖς ὁ ἐκ τῶν πρώ-* 3
*των ⟨δ'⟩ ἀριθμῶν συγκείμενος 'τέταρτος ἀριθμός'. ἓν γὰρ*
*καὶ δύο καὶ τρία καὶ τέσσαρα δέκα γίνεται· ὅς ἐστι τελειό-* 20
10 *τατος ἀριθμός, ἐπείπερ ἐπ' αὐτὸν φθάσαντες πάλιν ἀνα-*
*λύομεν ἐπὶ τὴν μονάδα καὶ ἐξ ὑπαρχῆς ποιούμεθα τὰς*

**§ 2—3** ~ M VII 94 cf. M X 248

**5** *τε* om. ς || **13** *περὶ τετρακτύος τῶν πυθαγορείων* marg. EL || **14** *ἀριθμητικὴν* LVr || **17** et p. 134, 1 *ἀεννάου* ς || **17** *πηγὴν* G: corr. Kochalsky cl. M VII 94 cod. N | *ῥιζώματ'* G: *ῥίζωμα τ'* Herv.: the source that holds the roots of everlasting nature Robbins ClP 15'20, 310 || **18.19** *τεσσάρων* post *πρώτων* ins. Bekk. sec. Herv. || **19** ⟨*δ'*⟩ Mette [ *τέταρτος* ELVr: *τέσσαρα* ς: *δέκα* Bekk., quod fortasse verum, si in archetypo nota Herodiana Δ scripta erat: *τέλειος* ci. Harder cl. Arist. Metaph. 986 a 8

722

ἀριθμήσεις. πηγὴν δὲ ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν εἰρήκασιν αὐτὸν διὰ τὸ κατ' αὐτοὺς ἐν αὐτῷ τὸν λόγον τῆς ἁπάντων κεῖσθαι συστάσεως, οἷον εὐθέως τοῦ τε σώματος καὶ τῆς ψυχῆς· ἀπαρκέσει γὰρ τούτων ὑποδειγ- 15
4 ματικῶς μεμνῆσθαι. ἡ μὲν οὖν μονὰς ἀρχή τις ὑπόκει-
6 ται τῆς τῶν ἄλλων ἀριθμῶν ἀπεργαστικὴ συστάσεως, ἡ δὲ δυὰς μήκους ἐστὶν ἀπεργαστική. καθάπερ γὰρ ἐπὶ τῶν γεωμετρικῶν ἀρχῶν (M III 19sqq.) ὑπεδείξαμεν πρῶτον, τίς ἐστιν ἡ στιγμή, εἶτα μετ' αὐτὴν ἡ γραμ-
10 μὴ μῆκος ἀπλατὲς τυγχάνουσα, τὸν αὐτὸν τρόπον 20 καὶ ἐπὶ τοῦ παρόντος ἡ μὲν μονὰς τὸν τῆς στιγμῆς ἐπέχει λόγον, ἡ δὲ δυὰς τὸν τῆς γραμμῆς καὶ τοῦ μήκους· ποθὲν γάρ ποι ἐχώρησεν ἡ διάνοια ταύτην ἐννοουμένη,
5 τοῦτο δ' ἦν μῆκος. ἡ δὲ τριὰς ἐπὶ τοῦ πλάτους καὶ τῆς ἐπιφα-
15 νείας ἐτέτακτο· ποθὲν γάρ ποι ⟨καὶ πάλιν ποι⟩ ἐφέρετο ὁ 25 νοῦς. καὶ προστιθεμένης τῇ κατὰ μῆκος διαστάσει τῆς κατὰ πλάτος διαστάσεως ἐπιφάνεια νοεῖται. ἀλλὰ κἂν ἐπιθεωρήσῃ τις τῇ τριάδι τετάρτην μονάδα, τουτέστι τέταρτον σημεῖον, γίνεται πυραμίς, στερεὸν σῶμα καὶ σχῆμα· καὶ
20 γὰρ μῆκος ἔχει καὶ πλάτος καὶ βάθος· ὥστε ἐν τῷ 'τε- 30
6 τάρτῳ' ἀριθμῷ τὸν τοῦ σώμα|τος περιέχεσθαι λόγον. καὶ 723 μὴν καὶ τὸν τῆς ψυχῆς· ὡς γὰρ τὸν ὅλον κόσμον κατὰ ἁρμονίαν λέγουσι διοικεῖσθαι, οὕτω καὶ τὸ ζῷον ψυχοῦσθαι. δοκεῖ δὲ ἡ τέλειος ἁρμονία ἐν τρισὶ συμφωνίαις
25 λαμβάνειν τὴν ὑπόστασιν, τῇ τε διὰ τεττάρων καὶ τῇ διὰ 5 πέντε καὶ τῇ διὰ πασῶν. ἡ μὲν οὖν διὰ τεσσάρων ἐν ἐπιτρίτῳ κεῖται λόγῳ, ἡ δὲ διὰ πέντε ἐν ἡμιολίῳ, ἡ δὲ
7 διὰ πασῶν ἐν διπλασίονι. ἐπίτριτος δὲ λέγεται ἀριθμὸς ὁ ἐξ ὅλου τινὸς ἀριθμοῦ συνεστηκὼς καὶ ἐκ τοῦ τρίτου μέ-
30 ρους ἐκείνου, ὡς ἔχει ὁ ὀκτὼ πρὸς τὸν ἕξ· καὶ γὰρ αὐτὸν 10

§ 4 ~ M VII 99 || 5 ~ M VII 100 || 6 ~ M VII 95–96 || 7 ~ M VII 96

1 πηγήν τε G: conieci cl. *p. 210, 1* (Bekk.) || 4 ἐπαρκέσει G: corr. Bekk. || 11 τὸν στιγμῆς VC || 13 et 15 γὰρ ποῦ G: corr. Bury: trad. def. Theiler || 15 ⟨ ⟩ cl. *p. 210, 30* (Bekk.) Bury sec. Bekk. || 20 τετάρτω G: τέσσαρα Bekk.: trad. def. Mette

723
τὸν ἓξ περιέσχηκε καὶ τὸ τρίτον αὐτοῦ, τουτέστι τὴν δυάδα. ἡμιόλιος δὲ καλεῖται, ὅταν περιέχῃ ἀριθμὸς ἀριθμὸν καὶ τὸ ἥμισυ ἐκείνου, ὡς ἔχει ὁ ἐννέα πρὸς τὸν ἕξ· συνέστηκε γὰρ ἐκ τοῦ ἓξ καὶ ἐκ τοῦ ἡμίσεος αὐτοῦ, τουτέστι
15 τῶν τριῶν. διπλασίων δὲ προσαγορεύεται ὁ δυσὶν ἀριθμοῖς 5
⟨ἴσοις⟩ ἴσος, ὡς ὁ τέσσαρα πρὸς τὸν δύο· δὶς γὰρ τὸν αὐτὸν περιέσχηκεν. ἀλλὰ γὰρ τούτων οὕτως ἐχόντων, καὶ 8
κατὰ τὴν ἀρχῆθεν ὑπόθεσιν τεσσάρων ὄντων ἀριθμῶν, τοῦ τε ἑνὸς καὶ δύο καὶ τρία καὶ τέσσαρα, ἐν οἷς ἐλέγο-
20 μεν καὶ τὴν τῆς ψυχῆς ἰδέαν περιέχεσθαι κατὰ τὸν ἐν- 10
αρμόνιον λόγον, ὁ μὲν τέσσαρα τοῦ δύο καὶ ὁ δύο τῆς μονάδος ἐστὶ διπλασίων, ἐν ᾧ ἔκειτο ἡ διὰ πασῶν συμφωνία, ὁ δὲ τρία τοῦ δύο ἡμιόλιος (καὶ γὰρ αὐτὸν τὸν 9
δύο περιέσχηκε καὶ τὸ ἥμισυ τούτου, ὅθεν καὶ τὴν διὰ
25 πέντε συμφωνίαν ὑποβάλλειν), ὁ δὲ τέσσαρα τοῦ τρία 15
ἐπίτριτος, ὑπέκειτο δὲ καὶ ἐν τούτῳ ἡ διὰ τεσσάρων συμφωνία. ὥστε εἰκότως τὸν 'τέταρτον ἀριθμὸν' παρὰ τοῖς Πυθαγορικοῖς εἰρῆσθαι πηγὴν ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν.

30 Ἀλλ' ὅτι μὲν πολλὴν δύναμιν ἀπένεμον τοῖς ἀριθμοῖς, 10
724 ἐκ τούτων συμφανὲς ὑποδειγματικώτερον εἰρημέ|νων· πο- 21
λὺς γὰρ ὁ περὶ ἀριθμῶν παρ' αὐτοῖς ἐστι λόγος, ὃν ἐάσαντες τὰ νῦν μηκύνειν ἁπτώμεθα τῆς ἀντιρρήσεως, τὴν ἀρχὴν τῶν λόγων ἀπὸ μονάδος ποιησάμενοι, ἥτις ἀρχὴ
5 παντὸς ἀριθμοῦ καθέστηκε καὶ ἧς ἀναιρουμένης οὐδ' 25
ἔστιν ἀριθμός.

Τὴν τοῦ ἑνὸς τοίνυν νόησιν διατυπῶν ἡμῖν πυθαγορι- 11
κώτερον ὁ Πλάτων φησὶν 'ἕν ἐστιν οὗ μηδὲν χωρὶς λέγεται ἕν' ἢ 'οὗ μετοχῇ ἕκαστον ἕν τε καὶ πολλὰ λέγε-

§ 8—9 ~ M VII 97—98 ‖ 10 cf. M X 284 ‖ 11 ~ M X 284—285 | *Πυθαγορικώτερον* cf. Diog. Laert. III 8 | *φησὶν* cf. Plat. Parm. 129 B 5sqq. cf. etiam Eucl. el. VII def. 1

4 *ἐκ τῶν ἓξ* ς | *ἡμίσους* ELVr ‖ 6 *ἴσοις* suppl. dub. Bury ‖ 11 *τέταρτος τοῦ δευτέρου καὶ ὁ δεύτερος* LVr: $\overline{δ}$ *τοῦ* $\overline{β}$ *καὶ ὁ* $\overline{β}$ cett. ‖ 13 *ὅ τε τρία* G: corr. Bekk. ‖ 15 *ὑπέβαλλεν* Bekk.: 'subiicit' Herv. ‖ 17 *τέσσαρα* G: corr. Mette ‖ 18 *ἀεννάου* ς ‖ 29 *οὖν* ς

ται'. τὸ γὰρ φυτόν, εἰ τύχοι, καὶ τὸ ζῶον καὶ ὁ λίθος
προσαγορεύεται μὲν ἕν, οὐκ ἔστι δὲ κατὰ τὸν ἴδιον λόγον 10
ἕν, ἀλλ' ἐν μετοχῇ ἑνὸς νοεῖται, τούτου μηδενὸς τούτων
12 καθεστῶτος. οὔτε γὰρ φυτὸν οὔτε ζῷον οὔτε λίθος οὔτε
5 ἄλλο τι τῶν ἀριθμητῶν τὸ ὄντως ἕν ἐστιν. εἰ γὰρ φυτόν
ἐστιν ἢ ζῷον τὸ ἕν, πάντως ὃ μὴ φυτόν ἐστι μηδὲ ζῷον
οὐ ῥηθήσεται ἕν· λέγεται δὲ καὶ φυτὸν ἓν καὶ ζῷον καὶ 15
13 ἄλλα μυρία· οὐδὲν ἄρα τῶν ἀριθμητῶν ἐστι ⟨τὸ⟩ ἕν, τὸ
δὲ οὗ ἕκαστον ⟨μετέχον ἕν τε καὶ πολλὰ γίνεται·⟩ ἓν μὲν
10 καθ' ἑαυτὸ ἕκαστον, πολλὰ δὲ ἀθροισμῷ [μετέχον, ἕν
τε καὶ πολλά γίνεται] τῶν καθ' ἕκαστον. ὅπερ πάλιν
πλῆθος οὐδέν ἐστι τῶν πολλῶν, οἷον φυτῶν ζῴων 20
λίθων· κατὰ μετοχὴν μὲν γὰρ ἐκείνου ταῦτα λέγεται
14 πολλά, αὐτὸ δὲ οὐκ ἔστιν ἐν τούτοις. πλὴν τοιαύτη μὲν
15 ἡ τοῦ ἑνὸς ἰδέα νοεῖται τοῖς περὶ τὸν Πλάτωνα· ἐπισυν-
άπτοντες δὲ ἡμεῖς λεγωμεν. ἤτοι ἑτέρα τῶν κατὰ μέρος
ἀριθμητῶν ἐστιν ἡ τοῦ ἑνὸς ἰδέα, ἢ σὺν ἐκείνοις τοῖς 25
μετέχουσιν αὐτῆς νοεῖται. ἀλλὰ καθ' αὑτὴν μὲν ⟨οὐχ
ὑφέστηκεν, εἴγε⟩ παρὰ τὰ κατὰ μέρος ἀριθμητὰ οὐδὲν
20 νοεῖται ἓν ὑποκείμενον. λείπεται ἄρα ἐν ἐκείνοις τοῖς μετ-
15 έχουσιν αὐτοῦ νοεῖσθαι, ὃ πάλιν τῶν ἀπόρων. τὸ γὰρ
ἀριθμητὸν ξύλον εἰ μετοχῇ μονάδος ἐστὶν ἕν, ὃ μή ἐστι
ξύλον οὐ λεχθήσεται ἕν· λέγεται δέ γε, ὡς ἀνώτερον 30
(v. 7) ὑποδέδεικται· οὐκ ἄρα ἐστὶν ἡ μονὰς ἧς μετοχῇ
25 ἕκαστον τῶν κατὰ μέρος ἀριθμητῶν μονὰς προσαγορεύε-
16 ται. εἶτα τὸ πολλοῖς μετε|χόμενον πολλά ἐστι καὶ οὐχ 725
ἕν, τὰ δὲ ἀριθμητὰ πολλά τέ ἐστι καὶ ἄπειρα· οὐκ ἄρα
μετοχῇ τῆς μονάδος ἕκαστον τῶν ἀριθμητῶν ἕν ἐστιν.
17 ὥσπερ οὖν ὁ γενικὸς ἄνθρωπος, ὅν τινες νοοῦσι ζῷον
30 θνητὸν λογικόν, οὔτε Σωκράτης ἐστὶν οὔτε Πλάτων, ἐπει- 5
δὴ οὐδεὶς ἕτερος λεχθήσεται ἄνθρωπος, οὔτε καθ' ἑαυ-

**§ 12—13** ~ M X 286 || **17** cf. M X 288—289

**3** ἓν[2] pro ἐν Heintz || **8** τὸ suppl. Bekk. || **9—11** trp. Heintz τῶν καθ' ἕκαστον deletis, quae restituit We., τὸ δὲ ut ἀλλὰ τὸ interpretandum || **17** ἀριθμῶν G: corr. Heintz || **18** μὲν om. LVr || **18.19** οὐχ -- εἴγε dub. suppl. Bekk. || **23** γε om. EC

τὸν ὑφέστηκεν οὔτε μετὰ Πλάτωνος καὶ Σωκράτους, ἐπεὶ
ἐθεωρεῖτο ἂν ὡς ἄνθρωπός ⟨τις⟩, οὕτω καὶ τὸ ἓν μήτε
σὺν τοῖς κατὰ μέρος ἀριθμητοῖς μήτε καθ' ἑαυτὸ
10 ὑφεστηκὸς νοούμενον εὐθέως ἐστὶν ἀνεπινόητον. τὰ δὲ 18
αὐτὰ λεκτέον καὶ ἐπὶ τοῦ δύο ἢ καὶ τρία καὶ καθ- 5
όλου ἐπὶ παντὸς ἀριθμοῦ, ἵνα μὴ μηκύνωμεν. ἔνεστι δὲ
καὶ οὕτως συνερωτᾶν. ἡ τοῦ ἑνὸς ἰδέα, ἧς μετοχῇ τι ἓν
λέγεται, ἤτοι μία ἐστὶν ἰδέα ἢ τοῦ ἑνὸς πλείους ἰδέαι
τυγχάνουσιν. ἀλλ' εἰ μὲν μία ἐστίν, ⟨ἤτοι ἀμερής ἢ πο-
15 λυμερής ἐστιν· εἰ δὲ ἀμερής,⟩ οὐ πολλοῖς μετέχεται· τοῦ 10
γὰρ Α, εὐσήμου χάριν διδασκαλίας, τὴν ὅλην τοῦ ἑνὸς
ἰδέαν ἔχοντος, τὸ Β μὴ μετέχον ταύτης οὐκέτ' ἔσται ἕν.
καὶ μὴν οὐδὲ πολυμερὴς καθέστηκεν, ἵνα πολλὰ ᾖ τὰ μετ- 19
έχοντα ταύτης· πρῶτον μὲν γὰρ ἔσται ἕκαστον οὐ τῆς
20 τοῦ ἑνὸς ἰδέας μετέχον, μέρους δὲ αὐτῆς, εἶτα καὶ ἡ μο- 15
νὰς ἀδιαίρετος καὶ ἀμερὴς ἐνοεῖτο κατ' αὐτούς. εἰ δὲ
πλείους εἰσὶν ἰδέαι τοῦ ἑνός, ⟨ὡς⟩ ἕκαστον τῶν καθ' ἓν
τασσομένων ἀριθμητῶν ⟨ἰδίας τινὸς μετέχειν ἰδέας⟩, ἤτοι
⟨ἡ⟩ τοῦ Α ⟨καὶ⟩ ἡ τοῦ Β [καθ' ἓν ἑκάτερον] μετέχει
τινὸς κοινῆς ἰδέας ⟨καθ' ἣν ἑκάτερον αὐτῶν προσαγο- 20
ρεύεται ἕν⟩, ἢ οὐ μετέχει. καὶ εἰ μὲν οὐ μετέχει, δεήσει 20
25 καὶ ἅπαντα δίχα τοῦ μετέχειν ἰδέας κατὰ τὸ ἓν τετάχθαι,
ὅπερ οὐ θέλουσιν. εἰ δὲ μετέχει, ἡ ἐξ ἀρχῆς συνεισαχθή-
σεται ἀπορία· πῶς γὰρ μιᾶς τὰ δύο μεθέξει;

Ταῦτα μὲν οὖν περὶ μονάδος, ἧς ἀνῃρημένης πᾶς ἀνῄ- 25
30 ρηται ὁ ἀριθμός· ὅμως δ' οὖν ἐπισυνάπτωμεν καὶ τὰ 21
περὶ τῆς δυάδος. ἄπορος γάρ πως καὶ αὕτη συνίσταται
κατὰ τὴν τῶν μονάδων σύνοδον, ὥσπερ καὶ ὁ Πλάτων
διὰ τοῦ Περὶ ψυχῆς (Phaed. 97 A) πρότερον ἠπόρηκεν.

§ **18** ∼ M X 293 ‖ **19–20** ∼ M X 294–298 ‖ **21–22** cf. M X 302–309

**2** τις supplevi ‖ **9.10** ἤτοι — ἀμερής supplevi ‖ **11** ἄλφα G ‖ **12** βῆτα ELA: $\bar{\beta}$ BV ‖ **16–21** restituit Heintz cl. *p. 535, 20–24: εἰ δὲ πλείους εἰσὶν ἰδέαι τοῦ ἑνός, ἕκαστον τῶν καθ' ἓν τασσομένων ἀριθμητῶν ἤτοι τοῦ ἑνὸς ἢ τοῦ δύο καθ' ἓν ἑκάτερον μετέχει* (-χῃ AB) *τινὸς κοινῆς ἰδέας ἢ οὐ μετέχει.* G ‖ **23** συναχθήσεται ς edd. ‖ **26** ὁ om. ς ‖ **27** ἀπόρως Bury | αὐτὴ G edd. ‖ **28** ὁ om. Lς

παρατεθείσης | γὰρ μονάδος ἑτέρᾳ μονάδι ἤτοι προσγί- 726
νεταί τι κατὰ τὴν παράθεσιν ἢ ἀπογίνεται ἢ οὔτε προσ-
22 γίνεταί τι οὔτε ἀπογίνεται. ἀλλ' εἰ μὲν οὔτε προσγίνεταί
τι οὔτε ἀπογίνεται, οὐκ ἔσται κατὰ παράθεσιν τῆς ἑτέρας
5 μονάδος τῇ ἑτέρᾳ ἡ δυάς. εἰ δὲ ἀπογίνεταί τι κατὰ τὴν 5
παράθεσιν, ἐλάττωσις ἔσται τοῦ ἑνὸς καὶ ἑνός, καὶ δυὰς
οὐ γενήσεται. εἰ δὲ προσγίνεταί τι, τὰ δύο οὐ γενήσεται
δύο ἀλλὰ τέσσαρα· δυὰς γὰρ ἡ ἐπιγινομένη καὶ μονὰς
καὶ ἑτέρα μονὰς τὸν τῶν τεσσάρων ἀριθμὸν συνίστησιν.
10 οὐδὲν ἄρα ἔσται δυάς. ἡ δὲ αὐτὴ γένοιτ' ἂν ἀπορία καὶ 10
ἐπὶ παντὸς ἀριθμοῦ, ὥστε μηδὲν εἶναι κατὰ τοῦτο ἀριθμόν.
23 Οὐ μὴν ἀλλ' ἐπεὶ κατὰ πρόσθεσιν μονάδος καὶ κατὰ
ἀφαίρεσιν ὁ ἀριθμὸς νοεῖται, δῆλον ὡς ἐὰν τούτων ἑκά-
τερον παραστήσωμεν ἀδύνατον, οἰχήσεται καὶ ἡ τῶν ἀριθ-
15 μῶν ὑπόστασις. λέγωμεν δὲ πρῶτον εὐθὺς περὶ ἀφαιρέ- 15
24 σεως, ὑποδειγματικῇ χρώμενοι τῇ διδασκαλίᾳ. ἡ τοίνυν
ἀπὸ τῆς ὑποκειμένης δεκάδος ἀφαιρουμένη μονὰς ἤτοι
ἀπὸ ὅλης τῆς δεκάδος ἢ ἀπὸ τῆς περιλειπομένης ἐννεάδος
ἀφαιρεῖται· οὔτε δὲ ἀφ' ὅλης, ὡς παραστήσομεν, οὔτε
20 ἀπὸ τῆς ἐννεάδος, ὡς διδάξομεν· οὐκ ἄρα ἀφαιρεῖταί τι 20
ἀπὸ τῆς ὑποκειμένης δεκάδος. εἰ γὰρ ἀφ' ὅλης ταύτης
ἀφαιρεῖται ἡ μονάς, ἤτοι ἡ δεκάς ἐστιν ἑτέρα τῶν κατὰ
μέρος μονάδων ἢ ὁ ἀθροισμὸς τούτων δεκὰς προσαγο-
25 ρεύεται. ἀλλ' ἑτέρα μὲν τῶν κατὰ μέρος μονάδων οὐκ
25 ἔστιν ἡ δεκάς· καὶ γὰρ ἀναιρεθεισῶν ἐκείνων οὐδ' ἔστι 25
δεκάς, καὶ τῆς δεκάδος ἀναιρεθείσης ὁμοίως αἱ μονάδες
οὐκέτι ὑπάρχουσιν. εἰ δὲ ἡ αὐτὴ ταῖς μονάσιν ἐστὶν ἡ
δεκάς, τουτέστιν εἰ αἱ κατὰ μέρος μονάδες εἰσὶ δεκάς,
δῆλον ὡς εἴπερ ἀπὸ τῆς δεκάδος ἡ τῆς μονάδος ἀφαίρε-
30 σις γίνεται, ἀφ' ἑκάστης μονάδος ἀφαιρεθήσεται (αἱ γὰρ 30
κατὰ μέρος μονάδες ἦσαν ἡ δεκάς), καὶ οὕτως οὐκέτι
ἔσται μονάδος ἆρσις ἀλλὰ δεκάδος. ὥστε οὐκ ἀπὸ ὅλης

§ 24 — M IX 312—313 || 25 ~ M IX 313—314

2 οὔτε — 5 ἡ δυάς om. Herv. || 10 ἔστι Eς || 18 τῇ om. ς || 20 οὐκ ἄρα — 21 δεκάδος om. Herv. || 25 καὶ γὰρ — 26 δεκάς om. E || 28 εἰσὶ δεκάδες G. corr. Fabr. || 32 ἄρσις G ubique

727 | τῆς δεκάδος αἴρεται ἡ μονάς. καὶ μὴν οὐδ' ἀπὸ τῆς 26
ὑπολειπομένης ἐννεάδος ἡ ἄρσις αὐτῆς γίνεται· πῶς γὰρ
ἔτι μετὰ τὴν ἄρσιν αὐτῆς σῶός ἐστιν ἡ ὑποκειμένη ἐν-
νεάς; ἀλλ' εἰ μήτε ἀφ' ὅλης τῆς δεκάδος αἴρεται ἡ μονὰς
5 μήτε ἀπὸ τῆς ὑπολειπομένης ἐννεάδος, οὐδεὶς ἀριθμὸς 5
κατὰ ἀφαίρεσιν συνίσταται. ἄλλως τε, εἰ ἀπὸ τῆς ἐννεά- 27
δος αἴρεται ἡ μονάς, ἤτοι ἀπὸ ὅλης αἴρεται ἢ ἀπὸ τῆς
τελευταίας αὐτῆς μονάδος. καὶ εἰ μὲν ἀπὸ ὅλης τῆς ἐν-
10 νεάδος ἀφαιρεῖται ἡ μονάς, ἔσται ἄρσις τῆς ἐννεάδος· τὸ
γὰρ ἀφαιρούμενον ἀφ' ἑκάστης μονάδος, τῶν κατὰ μέρος 10
μονάδων ἐννέα οὐσῶν, τὸν τῆς ἐννεάδος ἀριθμὸν συντί-
θησιν. εἰ δὲ ἀπὸ τῆς τελευταίας μονάδος γίνεται τὰ τῆς 28
ἀφαιρέσεως, πρῶτον μὲν καὶ ἡ τελευταία μονάς, ἀμερὴς
15 οὖσα, δειχθήσεται μεριστὴ τυγχάνειν, ὅπερ ἄτοπον· εἶτα
εἰ ἀπὸ τῆς τελευταίας μονάδος αἴρεται ἡ μονάς, οὐ δυ- 15
νήσεται ἔτι ὁλόκληρος μένειν ἡ ἐννεάς. καὶ ἄλλως, εἴπερ 29
ἀπὸ τῆς δεκάδος γίνεται ἡ τῆς μονάδος ἄρσις, ἤτοι ἀπὸ
οὔσης γίνεται τῆς δεκάδος ἄρσις ἢ ἀπὸ μὴ οὔσης· οὔτε
20 δὲ ἀπὸ τῆς οὔσης γένοιτ' ἂν (ἐφ' ὅσον γὰρ μένει χρόνον
δεκάς, οὐδὲν ἀπ' αὐτῆς ἀφαιρεθῆναι δύναται ὡς δεκάδος, 20
ἐπεὶ οὐκέτι ἔσται δεκάς) οὔτε ἀπὸ μὴ οὔσης· ἀπὸ γὰρ 30
τοῦ μὴ ὄντος οὐδὲ ἀρθῆναί τι πέφυκεν. καὶ ⟨μὴν⟩ παρὰ
τὸ εἶναι ἢ μὴ εἶναι οὐδὲν ἔστι νοῆσαι· οὐκ ἄρα αἴρεταί
τι ἀπὸ τῆς δεκάδος.

25 Ἀλλ' ὅτι μὲν ἀμήχανόν ἐστι κατ' ἀφαίρεσιν ἀριθμόν 25
τινα νοεῖν, ἐκ τούτων δέδεικται· ὅτι δὲ οὐδὲ κατὰ πρόσ- 31
θεσιν, ῥᾴδιον δεῖξαι τῶν ἀναλόγων ἐχομένους ἀποριῶν.
πάλιν γὰρ μονάδος προστιθεμένης δεκάδι ἤτοι τῇ ὅλῃ
δεκάδι ῥητέον γίνεσθαι τὴν πρόσθεσιν ἢ τῷ τελευταίῳ
30 μέρει τῆς δεκάδος. ἀλλ' εἰ μὲν ὅλῃ τῇ δεκάδι προστίθε- 30

**§ 26** ∼ M IX 315, 317 || **27** ∼ M IX 316 || **28** ∼ M IX 317 || **29—30** ∼ M IX 318—319, 321

**7** *αἴρεται* E ubique || **9.10.25** *ὑφαιρ.* G: corr. Bekk. || **19** *χρόνον μένει δεκὰς* numeris suprscr. corr. V: *χρόνον μένειν* C || **21** *οὐδὲ* G: corr. Bekk. || **22** *μὴν* suppl. Bekk. sec. Herv. || **27** *ἀλόγων* L

ται ἡ μονάς, ἐπεὶ ἡ ὅλη δεκὰς σὺν πάσαις ταῖς κατὰ
μέρος μονάσι νοεῖται, δεήσει τὴν τῆς μονάδος πρόσθεσιν
| γινομένην πάσαις ταῖς κατὰ μέρος μονάσι δεκάδος εἶναι 728
32 πρόσθεσιν, ὅπερ ἄτοπον· ἀκολουθήσει γὰρ τῇ τῆς μονά-
5 δος προσθέσει τὴν δεκάδα εἰκοσάδα γίνεσθαι, ὃ τῶν ἀμη-
χάνων ὑπῆρχεν. οὐ τοίνυν ὅλῃ τῇ δεκάδι τὴν μονάδα
προστίθεσθαι ῥητέον. καὶ μὴν οὐδὲ τῷ τελευταίῳ μέρει 5
τῆς δεκάδος, ἐπεὶ οὐκ αὐξηθήσεται ἡ δεκὰς διὰ τὸ μὴ
τὴν τοῦ ἑνὸς μέρους αὔξησιν εὐθὺς καὶ τῆς ὅλης δεκάδος
33 αὔξησιν εἶναι. [καὶ] καθόλου τε ἐπὶ πᾶσιν, ἢ μενούσῃ τῇ
11 δεκάδι προστίθεται ἡ μονὰς ἢ μὴ μενούσῃ. οὔτε δὲ με- 10
νούσῃ προστεθείη ποτ' ἄν, ἐπεὶ οὐκέτι μένει δεκάς, οὔτε
μὴ μενούσῃ· τὴν γὰρ ἀρχὴν μὴ μενούσῃ οὐδὲ πρόσθεσις
δύναται γενέσθαι.

34 Ἀλλ' εἴπερ ὁ ἀριθμὸς κατὰ πρόσθεσιν, ὡς ἔφην, καὶ
16 κατ' ἀφαίρεσιν ὑφιστάμενος νοεῖται, ἐδείξαμεν δὲ ἡμεῖς
ὅτι οὐθέτερόν ἐστι τούτων, ῥητέον μηδὲν εἶναι ἀριθμόν. 15
ὅθεν τοσαῦτα καὶ πρὸς τοὺς γεωμέτρας καὶ ἀριθμητικοὺς
ἀπορητικῶς διεξελθόντες ἀπ' ἄλλης ἀρχῆς καὶ τὴν πρὸς
20 τοὺς μαθηματικοὺς ἀντίρρησιν ποιησόμεθα.

§ 33 ~ M IX 318

**1** ἐπεὶ ὅλη ς || **2** τῆσδε C || **3** γινομένην — **4** πρόσθεσιν om. C || **10** [ ] Bekk. || **16** κατὰ ὑφαίρεσιν G: corr. Bekk. || **20** ποιησώμεθα litt. o suprscr. V

# ΠΡΟΣ ΑΣΤΡΟΛΟΓΟΥΣ

20 Περὶ ἀστρολογιας ἢ μαθηματικῆς πρόκειται ζητῆσαι
οὔτε τῆς τελείου ἐξ ἀριθμητικῆς καὶ γεωμετρίας συν-
εστώσης (ἀντειρήκαμεν γὰρ πρὸς τοὺς ἀπὸ τούτων τῶν
μαθημάτων) οὔτε τῆς παρὰ τοῖς περὶ Εὔδοξον καὶ Ἵππ- 5
αρχον καὶ τοὺς ὁμοίους προρρητικῆς δυνάμεως, ἣν δὴ
25 καὶ ἀστρονομίαν τινὲς καλοῦσι (τήρησις γάρ ἐστιν ἐπὶ 2
φαινομένοις ὡς γεωργία καὶ κυβερνητική, ἀφ' ἧς ἔστιν
αὐχμούς τε καὶ ἐπομβρίας λοιμούς τε και σεισμοὺς καὶ
ἄλλας τοιουτώδεις τοῦ περιέχοντος μεταβολὰς προθεσπί- 10
ζειν), ἀλλὰ πρὸς γενεθλιαλογίαν, ἣν σεμνοτέροις κοσμοῦν-
30 τες ὀνόμασιν οἱ Χαλδαῖοι μαθηματικοὺς καὶ ἀστρολόγους
729 σφᾶς αὐτοὺς | ἀναγορεύουσιν, ποικίλως μὲν ἐπηρεάζοντες
τῷ βίῳ, μεγάλην δ' ἡμῖν ἐπιτειχίζοντες δεισιδαιμονίαν,
μηδὲν δὲ ἐπιτρέποντες κατὰ τὸν ὀρθὸν λόγον ἐνεργεῖν. 15
καὶ τοῦτ' εἰσόμεθα μικρὸν ἄνωθεν προλαβόντες περὶ τῶν 3
5 συντεινόντων πρὸς τὴν ἐπισκεπτικὴν αὐτῶν μέθοδον.
ἔσται δὲ ἐπιδρομικώτερον καὶ ὁλοσχερέστερον τὸ τῆς
ὑφηγήσεως· τοῖς γὰρ προηγουμένως μετιοῦσι τὸ μάθημα
τοῦτο τὰ τῆς ἀκριβείας συγκεχωρήσθω, ἡμῖν δὲ αὔταρκές 20
ἐστι τούτων ἐπιμνησθῆναι ὧν χωρὶς οὐ δυνατὸν ἐπιβάλ-
10 λειν ταῖς πρὸς τοὺς Χαλδαίους ἀντιρρήσεσιν.
Ἐπὶ προϋποκειμένῳ τοίνυν τῷ συμπαθεῖν τὰ ἐπίγεια 4
τοῖς οὐρανίοις καὶ κατὰ τὰς ἐκείνων ἀπορροίας ἑκάστοτε
ταῦτα νεοχμοῦσθαι 25

§ 1 cf. Cic. de div. II 42, 87. Arat. 733 sqq.

1 *σέξτου ἐμπειρικοῦ πρὸς ἀριθμητικούς· πρὸς ἀστρολόγους* tit. LVrR: subscriptio deest E: *σέξτου ἐμπειρικοῦ πρὸς μαθηματικοὺς τέλος· σέξτου ἐμπειρικοῦ πρὸς ἀστρολόγους* ς || 4 *εἰρήκαμεν* S || 5 *οὔτε περὶ τῆς εὔδοξον* $S_1$: *οὔτε τῆς περὶ εὔδ.* $S_2$: *οὔτε τῆς παρὰ τοῖς περὶ* cett. || 8 *φαινομένων* S || 11 *γενεαλογίαν* G: corr. Bekk. post Fabr. || 14 *δὲ* om. LVr || 17 *σκεπτικὴν* ς

(τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε) 15
5 (Hom. σ 136) οἱ περιεργότερον ἀναβλέψαντες εἰς τὸ περι-
έχον Χαλδαῖοι δραστικῶν μὲν αἰτιῶν λόγον ἐπέχειν φασὶν εἰς
5 τὸ ἕκαστον τῶν κατὰ τὸν βίον συμβαινόντων ἐκβαίνειν τοὺς
ἑπτὰ ἀστέρας, συνεργεῖν δὲ τὰ τοῦ ζῳδιακοῦ μέρη. τὸν μὲν
οὖν ζῳδιακὸν κύκλον, ὥσπερ κατηχήμεθα, διαιροῦσιν εἰς 20
δεκαδύο ζῴδια, ἕκαστον δὲ ζῴδιον εἰς μοίρας τριάκοντα
(ἔστω γὰρ τοῦτο ἐπὶ τοῦ παρόντος σύμφωνον αὐτοῖς),
10 ἑκάστην δὲ μοῖραν εἰς ἑξήκοντα λεπτά· οὕτω γὰρ κα-
6 λοῦσι τὰ ἐλάχιστα καὶ ἀμερῆ. τῶν δὲ ζῳδίων τὰ μέν τινα
ἀρρενικὰ καλοῦσι τὰ δὲ θηλυκά, καὶ τὰ μὲν δίσωμα τὰ 25
7 δὲ οὔ, καὶ τινὰ μὲν τροπικά, τινὰ δὲ στερεά. ἀρρενικὰ μὲν
οὖν καὶ θηλυκὰ ἅπερ συνεργὸν ἔχει φύσιν πρὸς ἀρρενογο-
15 νίαν ἢ θηλυγονίαν κριὸς γὰρ ἀρρενικόν ἐστι ζῴδιον,
ταῦρος δέ, φασί, θηλυκόν, δίδυμοι ἀρρενικόν, καὶ ἐναλλὰξ
τὰ | λοιπὰ κατὰ τὴν ὁμοίαν ἀναλογίαν, τὰ μὲν ἀρρενικὰ 730
8 τὰ δὲ θηλυκά. ἀφ' ὧν, οἶμαι, καὶ οἱ Πυθαγορικοὶ κινη-
θέντες τὴν μὲν μονάδα ἄρρεν προσαγορεύουσι, τὴν δὲ
20 δυάδα θῆλυ, τὴν δὲ τριάδα πάλιν ἄρρεν, καὶ ἀναλόγως
[πάλιν] τοὺς λοιποὺς τῶν τε ἀρτίων καὶ περιττῶν ἀριθ- 5
9 μῶν. ἔνιοι δὲ καὶ ἕκαστον ζῴδιον εἰς δωδεκατημόρια
διελόντες τῇ αὐτῇ σχεδὸν ἐφόδῳ χρῶνται, οἷον ἐπὶ κριοῦ
τὸ μὲν πρῶτον δωδεκατημόριον αὐτοῦ κριόν τε καλοῦσι
25 καὶ ἄρρεν, τὸ δὲ δεύτερον ταῦρόν τε καὶ θῆλυ, τὸ δὲ τρί-
τον διδύμους τε καὶ ἄρρεν· καὶ ἐπὶ τῶν ἄλλων μοιρῶν ὁ 10
10 αὐτὸς λόγος. δίσωμα δὲ λέγουσιν εἶναι ζῴδια διδύμους
τε καὶ τὸν διαμετροῦντα τούτους τοξότην, παρθένον τε

§ 5 = Hippolyt. elench. V 13, 3—4 || 6–7 = ibid. 5 || 6 cf. Ptolemaei apotelesm. I 1[3] || 7 v. infr. ad 34 || 8 = Hippol. V 13, 6 || 9 = ibid. 7 | cf. Ptol. ap. I 22 p. 52, 11 sqq. Boll-Boer; Manil. II 688 sqq. || 10 = Hippol. V 13, 8

4 αἰτίων G || 5 κατὰ τὸν κῦ (?) S: καθ' ἡμᾶς Hippolyt.: κατὰ τὸν βίον cett. || 6 τῆς ζωδ. VC || 7 ὥσπερ ἤδη S || 10 γὰρ om. LVr || 12 sqq. ἀρσενικὰ ς, nonnumquam etiam LS || 13 στερεὰ ... τροπικὰ ς: ἕτερα pro στερεά Hippolyti cod. || 18 πυθαγόρειοι $S_1$ || 21 [ ] Bekk. | τε ante λοιποὺς S || 26 τε om. ς || 28 τούτοις ςS

730

καὶ ἰχθύας, οὐ δίσωμα δὲ τὰ λοιπά. καὶ τροπικὰ μὲν ἐν 11
οἷς γινόμενος ὁ ἥλιος μεταλλάσσει καὶ ποιεῖ τοῦ περι-
15 έχοντος τροπάς, οἷόν ἐστι ζῴδιον ὅ τε κριὸς καὶ τὸ τούτου
διάμετρον, ὁ ζυγός, αἰγόκερώς τε καὶ καρκίνος· ἐν κριῷ
μὲν γὰρ ἐαρινὴ γίνεται τροπή, ἐν αἰγοκέρῳ δὲ χειμερινή, 5
ἐν καρκίνῳ δὲ θερινὴ καὶ ἐν ζυγῷ φθινοπωρινή. στερεὰ
δὲ ὑπειλήφασι ταῦρόν τε καὶ τὸ διαμετροῦν, τουτέστι
20 σκορπίον, λέοντά τε καὶ ὑδρηχόον.

Οὐ μὴν ἀλλὰ καὶ πάντων τούτων τὰ ἐπὶ ἑκάστης γε- 12
νέσεως κυριεύοντα ζῴδια πρὸς τὴν τῶν ἀποτελεσμάτων 10
ἔκβασιν, καὶ ἀφ' ὧν μάλιστα τὰς προαγορεύσεις ποιοῦν-
ται, τέσσαρά φασιν εἶναι τὸν ἀριθμόν, ἅπερ κοινῷ μὲν
25 ὀνόματι κέντρα καλοῦσιν, ἰδιαίτερον δὲ τὸν μὲν ὡροσκό-
πον τὸ δὲ μεσουράνημα τὸ δὲ δῦνον τὸ δὲ ὑπὸ γῆν καὶ
ἀντιμεσουράνημα, ὃ καὶ αὐτὸ μεσουράνημά ἐστιν. ὡρο- 13
σκόπος μὲν οὖν ἐστιν ὅπερ ἔτυχεν ἀνίσχειν καθ' ὃν χρό- 15
νον ἡ γένεσις συνετελεῖτο, μεσουράνημα δὲ τὸ ἀπ' ἐκείνου
30 τέταρτον ζῴδιον σὺν αὐτῷ ἐκείνῳ, δῦνον δὲ τὸ διαμε-
τροῦν τὸν ὡροσκόπον, ὑπὸ γῆν δὲ καὶ ἀντιμεσουράνημα
τὸ διαμετροῦν τὸ μεσουράνημα, οἷον (ἔσται γὰρ σαφὲς 20
731 | ἐπὶ παραδείγματος) καρκίνου ὡροσκοποῦντος μεσουρα-
νεῖ μὲν κριός, δύνει δὲ αἰγόκερως, ὑπὸ γῆν δέ ἐστι ζυγός.
οὐ μὴν ἀλλὰ καὶ ἑκάστου τούτων τῶν κέντρων τὸ μὲν 14
προάγον ζῴδιον ἀπόκλιμα καλοῦσι, τὸ δὲ ἑπόμενον ἐπ-
5 αναφοράν. ἤδη δὲ τὸ μὲν προαναφερόμενον τοῦ ὡροσκο- 15

§ 11 = Hippol. V 13, 8—9 || 12 *κέντρα* v. p. 179 tab. fig. 1, cf. Ptol. ap. III 11. Porphyr. eisag. c. 43 CCAG V 4 p. 215 || 13—14 cf. Ptol. ap. III 11 p. 129 sqq. Boll-Boer. Paulus Alex. eisag. ed Schato 1586, D 3—4

3 *ζώδια* VC || 4 *ὁ ζυγὸς* $S_1$: *καθάπερ ζυγ.* cett. Hippolyt. || 5 *αἰγοκέρωτι δὲ* $S_2$ || 6 *ἐν καρκίνῳ — φθινοπορινή* om. $S_2$ VC | *ἐν ζυγῷ δὲ μιθαπωρινή* (sic!) *ἐν καρκίνω δὲ θερινή, καὶ ἐν αἰγοκέρωτι χειμερινή.* pro v. 5 *ἐν αἰγ.* — 6 *φθινωπορινή* $S_1$ || 7 *τούτον* S: *τουτέστι* cett. || 8 *τε* S: om. cett. | *ὑδροχόον* Sς || 9 *πάντων* suprscr. *ἀπὸ* $S_1$ || 11 *προσαγορεύσεις* ELς || 13 *τὸ μὲν* Bekk. || 14 *ὑπόγαιον* ς || 19 *τῷ ὡροσκόπω* et 20 *τῷ μεσουρανήματι* ELVrς || 21.22 *μεσουρανεῖ μὲν ζυγός ... ὑπὸ γῆν δέ ἐστι κριός* S || 23 *ἑκάστω* S || 24 *πρῶτον* pro *προάγον* S

ποῦντος ζῳδίου, ἐν τῷ φανερῷ ὄν, κακοῦ δαίμονός φασιν
εἶναι, τὸ δὲ μετὰ τοῦτο, ἑπόμενον δὲ τῷ μεσουρανοῦντι,
ἀγαθοῦ δαίμονος, τὸ δὲ προάγον τοῦ μεσουρανοῦντος κά-
τω μερίδα καὶ μονομοιρίαν καὶ θεόν, τὸ δὲ ἐρχόμενον
16 ἐπὶ τὴν δύσιν ἀργὸν ζῴδιον καὶ ἀρχὴν θανάτου, τὸ δὲ 10
6 μετὰ τὴν δύσιν ἐν τῷ ἀφανεῖ ποινὴν καὶ κακὴν τύχην,
ὅπερ καὶ διάμετρόν ἐστι τῷ κακῷ δαίμονι, τὸ δὲ ἐρχό-
μενον ὑπὸ γῆν ἀγαθὴν τύχην, διάμετρον τῷ ἀγαθῷ δαί-
17 μονι, τὸ δὲ ἀποχωροῦν ἀπὸ τοῦ ἀντιμεσουρανήματος ὡς
10 ἐπ' ἀνατολὴν θεάν, διάμετρον τῷ θεῷ, τὸ δὲ ἐπιφερόμε- 15
νον τῷ ὡροσκόπῳ ἀργόν, ὃ πάλιν διάμετρόν ἐστι τῷ ἀργῷ.
18 ἢ ἵνα συντομώτερον φῶμεν, τοῦ ὡροσκοποῦντος ζῳδίου
τὸ μὲν ἀπόκλιμα καλεῖται κακὸς δαίμων, ἡ δ' ἐπαναφορὰ
ἀργόν· ὡσαύτως τοῦ μεσουρανήματος τὸ μὲν ἀπόκλιμα
19 θεός, ἡ δ' ἐπαναφορὰ ἀγαθὸς δαίμων· κατὰ τὰ αὐτὰ δὲ 20
16 καὶ τοῦ ἀντιμεσουρανήματος τὸ μὲν ἀπόκλιμα θεά, ἡ δὲ
ἐπαναφορὰ ἀγαθὴ τύχη· ὁμοίως τοῦ δύνοντος τὸ μὲν
20 ἀπόκλιμα κακὴ τύχη, ἡ δὲ ἐπαναφορὰ ἀργόν. ταῦτα δ'
οἴονται οὐ παρέργως ἐξετάζειν· οὐ γὰρ τὴν αὐτὴν δύνα-
20 μιν ἔχειν ἡγοῦνται τοὺς ἀστέρας πρὸς τὸ κακοποιεῖν ἢ μὴ 25
ἐπί τε τῶν κέντρων θεωρουμένους καὶ ἐπὶ ταῖς ἀναφο-
ραῖς ἢ τοῖς ἀποκλίμασιν, ἀλλ' ὅπου μὲν ἐνεργεστέραν
21 ὅπου δὲ ἀπρακτοτέραν. ἦσαν δέ τινες τῶν Χαλδαίων οἳ
καὶ ἕκαστον μέρος τοῦ ἀνθρωπείου σώματος ἑκάστῳ τῶν
25 ζῳδίων ἀνατιθέντες ὡς συμπαθοῦν· κριὸν μὲν γὰρ κε- 30
φαλὴν ὀνομάζουσι, ταῦρον δὲ τράχηλον, διδύμους δὲ
ὤμους, καρκίνον δὲ στέρνον, λέοντα δὲ πλευράς, παρθέ-
22 νον δὲ γλουτούς, | ζυγὸν δὲ λαγόνας, σκορπίον αἰδοῖον 732
καὶ μήτραν, τοξότην μηρούς, αἰγόκερων γόνατα,

§ 14 sqq. Firmic. Mat. II 16.20 || 21 ibid. II 24, cf. Rhetorius ex Teucro CCAG VII p. 194 sqq. Paulus Alex. eisag. ed. Schato 1586, A 2. B 3. Manil. II 456 sqq.

2 *μεσουρανήματι* S || 4 et 7 *ἀρχόμενον* S || 7 *ἐρχόμενον* — 9 *τὸ δὲ* om. E || 10 *διαμετροῦν δὲ τῷ* S: *διαμετροῦν τῷ* cett.: correxi || 11 *διάμετρόν ἐστι* $S_1$: *διαμετρεῖ* cett. || 15 *δὲ* post *αὐτὰ* om. S || 22 *ἢ* ELVrS: *καὶ* cett. | *ἐναργεστέραν* $S_1$ || 23 *τῶν* $S_1$: om. cett.

732
ὑδρηχόον κνήμας, ἰχθύας δὲ πόδας. καὶ ταῦτα πάλιν οὐκ
ἀσκόπως, ἀλλ' ἐπείπερ, ἐὰν ἔν τινι τούτων τῶν ζῳδίων
5 γένηται τῶν κατὰ τὴν γένεσιν κακοποιῶν ἀστέρων τις,
πήρωσιν τοῦ ὁμωνυμοῦντος ἀπεργάζεται μέρους.
Ταῦτα μὲν οὖν περὶ τῆς φύσεως τῶν ἐν τῷ ζῳδιακῷ 5
κύκλῳ κεφαλαιωδέστερον ὑποδεδείχθω· οὐκ ἄτοπον δὲ 23
ἑξῆς διελθεῖν καὶ περὶ τῆς διαιρέσεως αὐτῶν. ἐπιστάσεως
10 γὰρ οὔσης ὡς τῶν ζῳδίων μὴ κατ' ἰδίαν περιγραφὴν θεω-
ρουμένων ἀλλὰ ἑπτὰ ἀστέρων διεσπαρμένων παρατηρήσει,
ἐπῆλθεν αὐτοῖς εἰς δώδεκα μοίρας τὸν ὅλον καταδιελεῖν 10
κύκλον. ὑποδεικνύντες γὰρ τὴν ἔφοδον, φασίν, ἕνα τινὰ 24
τῶν ἐν τῷ ζῳδιακῷ κύκλῳ λαμπρὸν ἀστέρα παρατηρή-
15 σαντες ἀνατέλλοντα οἱ πάλαι, εἶτα ἀμφορέα τετρημένον
πληρώσαντες ὕδατος εἴασαν ῥεῖν εἴς τι ἕτερον ὑποκείμε-
νον ἀγγεῖον μέχρι τοῦ τὸν αὐτὸν αὖθις ἀνασχεῖν ἀστέρα, 15
στοχασάμενοί τε ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ ση-
μεῖον γεγονέναι τὴν τοῦ κύκλου περιστροφὴν πάλιν ἐλάμ- 25
20 βανον τὸ δωδέκατον τοῦ ῥυέντος, καὶ ἐσκέπτοντο ἐν πόσῳ
τοῦτο ἔρρευσε χρόνῳ· ἐν τοσούτῳ γὰρ ἔλεγον καὶ τὸ δω-
δέκατον μέρος ἀνεληλυθέναι τοῦ κύκλου, καὶ τοῦτον ἔχειν 20
τὸν λόγον τὸ ἀνενεχθὲν μέρος τοῦ κύκλου πρὸς τὸν ὅλον
κύκλον, ὃν ἔχει τὸ ῥυὲν τοῦ ὕδατος μέρος πρὸς τὸ ὅλον
25 ὕδωρ. ἐκ ταύτης τῆς ἀναφορᾶς, φημὶ δὲ τοῦ δωδεκατη- 26
μορίου, τὸ τελευταῖον πέρας ἐσημειοῦντο ἀπὸ ἀστέρος τι-
νὸς ἐπιφανοῦς κατ' αὐτὸ θεωρουμένου ἢ ἀπό τινος τῶν 25
συνανατελλόντων βορειοτέρων ἢ νοτιωτέρων. τὸ δὲ αὐτὸ
ἐποίουν καὶ ἐπὶ τῶν ἄλλων δωδεκατημορίων.
30 Ἀλλ' ἡ μὲν ἔφοδος καθ' ἣν εἰς τοσαύτας μοίρας τὸν
ζῳδιακὸν καταδιαιροῦσι κύκλον, ἐστὶ τοιαύτη· ἀνάλογος 27
δ' ἔοικεν εἶναι καὶ καθ' ἣν τὸν ἐφ' ἑκάστης γενέσεως 30
733 ὡρο|σκόπον ἀρχικῶς παρατετηρηκέναι λέγουσιν. νύκτωρ

§ 24—26 cf. Ptol. ap. III 3 p. 110, 4sqq. Boll-Boer

1 ὑδροχόον ςS || 3 γίνεται AB et cod. Chouetorum in marg. || 11 post φασίν add. ⟨ὅτι⟩ dub. Bekk. Bury || 13 παλαιοί S || 15 τὸν om. $S_2$ | αὖθις Nebe Rh. Mus. 71 '16. 106 sec. $S_1$: om. cett. || 18 τοῦ ῥυέντος ὕδατος δωδέκατον μέρος S || 20 ἔχει LVr || 21 ἀναχθὲν S || 22 ὅ G: corr. Bekk. | ὅλον τὸ S || 23 δὲ om. ς || 29 ἔστη LVr

733

μὲν γὰρ ὁ Χαλδαῖος, φασίν, ἐφ' ὑψηλῆς τινος ἀκρωρείας ἐκαθέζετο ἀστεροσκοπῶν, ἕτερος δὲ παρήδρευε τῇ ὠδινούσῃ
28 μέχρις ἀποτέξαιτο, ἀποτεκούσης δὲ εὐθὺς δίσκῳ διεσήμαινε τῷ ἐπὶ τῆς ἀκρωρείας. ὁ δὲ ἀκούσας καὶ αὐτὸς παρεσημει- 5
5 οῦτο τὸ ἀνίσχον ζῴδιον ὡς ὡροσκοποῦν, μεθ' ἡμέραν δὲ τοῖς ὡροσκοπίοις προσεῖχε καὶ ταῖς τοῦ ἡλίου κινήσεσιν.
29 Ἀλλὰ ταῦτα μὲν περὶ ζῳδίων· τῶν δὲ ἀστέρων ἐνίους μὲν ἀγαθοποιοὺς εἶναι λέγουσιν ἐνίους δὲ κακοποιούς τινὰς δὲ καὶ κοινούς, οἷον ἀγαθοποιοὺς μὲν τὸν τοῦ Διὸς 10
10 καὶ τὸν Ἀφροδίτης, κακοποιοὺς δὲ τὸν τοῦ Ἄρεως καὶ Κρόνου, ἐπίκοινον δὲ τὸν τοῦ Ἑρμοῦ, ἐπείπερ μετὰ μὲν ἀγαθοποιῶν ἀγαθοποιὸς μετὰ δὲ κακοποιῶν κακοποιός.
30 ἄλλοι δὲ τοὺς αὐτοὺς ἀστέρας κατ' ἄλλην καὶ ἄλλην σχέ- 15 σιν ὁτὲ μὲν ἀγαθοποιοὺς ὁτὲ δὲ κακοποιοὺς ὑπάρχειν νο-
15 μίζουσιν. ἢ γὰρ πρὸς τὸ ζῴδιον ἢ πρὸς τοὺς τῶν ἄλλων ἀστέρων συσχηματισμοὺς οὔτε ὁ κακοποιὸς ἀστὴρ πάντως κακοποιός ἐστιν οὔτε ὁ ἀγαθοποιὸς πάντως ἀγαθο-
31 ποιός ἐστιν. πλὴν τῶν ἑπτὰ ἡγεῖσθαι μὲν τὸν ἥλιον καὶ 20 τὴν σελήνην οἴονται, ἐλάττονα δὲ τούτων δύναμιν ἔχειν
20 πρὸς τὰς τῶν ἀποτελεσμάτων ἐκβάσεις τοὺς λοιποὺς πέντε· παρ' ἣν αἰτίαν οἱ Αἰγύπτιοι βασιλεῖ μὲν καὶ δεξιῷ ὀφθαλμῷ ἀπεικάζουσι τὸν ἥλιον, βασιλίσσῃ δὲ καὶ ἀριστερῷ ὀφθαλμῷ τὴν σελήνην, ῥαβδοφόροις δὲ τοὺς πέντε 25
32 ἀστέρας, τῷ δὲ λοιπῷ λαῷ τοὺς ἄλλους ἀπλανεῖς. καὶ
25 τῶν πέντε ἡλίῳ μὲν συμφωνεῖν καὶ συνεπικουρεῖν φασι Κρόνον τε καὶ Δία καὶ Ἑρμῆν, οὓς καὶ ἡμερινοὺς καλεῖσθαι διὰ τὸ τὸν ἥλιον, ᾧ συνεργοῦσι, τῶν μεθ' ἡμέραν γεννωμένων ἐπικρατεῖν, ⟨σελήνῃ δὲ Ἄρην τε καὶ Ἀφρο-

§ 29 cf. Ptol. ap. I 5 p. 19, 16 Boll-Boer ‖ 31 cf. Plut. de Is. et Osir. 371 E. Vett. Val. I 1 p. 1, 6 et 1, 18 Kroll

1 φησίν G: corr. Bekk. ‖ 3 ἐσήμαινε S ‖ 6 ὡροσκοπείοις $S_1$: ὡροσκόποις cett. ‖ 9 τοῦ om. S ‖ 10 τὸν τῆς ἀφρ. ELVr edd. | τοῦ om. $S_1$ | δὲ τοῦ ἄρεως καὶ τοῦ κρ. $S_2$ ‖ 15 πρὸς S: παρὰ cett. edd. ‖ 16.17 οὔτε ὁ ἀγαθ. ... οὔτε ὁ κακοπ. ... S ‖ 22 βασιλίσσῃ $S_1$: βασιλίδι AB et marg. R, cod. Chouetorum: βασιλείᾳ cett. edd. ‖ 25 πέντε δὲ ἡλ. $S_1$ | μὲν om. S | συνεπικ. καὶ συμφων. S ‖ 27 sq. γεννωμένων μεθ' ἡμ. ς ‖ 28 γενομένων LVr | ⟨...⟩ proposuit Bekk., probaverunt Nebe Bury

*Signa Zodiaci*

| | | |
|---|---|---|
| ♈ | *κριός* | = aries |
| ♉ | *ταῦρος* | = taurus |
| ♊ | *δίδυμοι* | = gemini |
| ♋ | *καρκίνος* | = cancer |
| ♌ | *λέων* | = leo |
| ♍ | *παρθένος* | = virgo |
| ♎ | *ζυγός* (alias *χηλαί*) | = libra |
| ♏ | *σκορπίων* | = scorpius |
| ♐ | *τοξότης* | = sagittarius |
| ♑ | *αἰγόκερως* | = capricornus |
| ♒ | *ὑδρηχόος* | = aquarius |
| ♓ | *ἰχθύες* | = pisces |

*Signa stellarum errantium*

| | | |
|---|---|---|
| ☾ | *σελήνη* | = luna |
| ○ | *ἥλιος* | = sol |
| ♀ | *ὁ τῆς Ἀφροδίτης ἀστήρ* (alias *Φωσφόρος*) | = Venus |
| ☿ | *ὁ τοῦ Ἑρμοῦ ἀστήρ* (alias *Στίλβων*) | = Mercurius |
| ♂ | *ὁ τοῦ Ἄρεως ἀστήρ* (alias *Πυρόεις*) | = Mars |
| ♃ | *ὁ τοῦ Διός ἀστήρ* (alias *Φαέτων*) | = Jupiter |
| ♄ | *ὁ τοῦ Κρόνου ἀστήρ* (alias *Φαίνων*) | = Saturnus |

– figuras et tabulas addidit editor –

*Fig. 1: Cardines, declinationes, successiones*

ad V §§ 12–19 exemplum § 13






*Fig. 2: Domus stellarum* (ad V § 34)

*Fig. 3: Elationes et depressiones**)* (ad V § 35–36)



*) *Κάτω μερίς* et *μονομοιρία* neque alibi neque apud Firmic. Mat. II 19, 10 (I 64 Kroll-Skutsch) neque ap. Manil. II 905sqq. neque ap. Rhetorium (CCA G VIII 4 '22,163) inveni. Cf. Bouché-Leclerque, L' astrologie Grecque, Paris 1899, 284 n.3

**) Circulo medio elationes, circulo interiore depressiones indicantur.

734 δίτην〉. τοὺς δὲ αὐτοὺς ἀστέρας μεί|ζονα μᾶλλον ἴσχειν 33
δύναμιν ἢ παρὰ τὸ ἐν ἰδίοις οἴκοις ὑπάρχειν ἢ ὑψώμασιν
ἢ ὁρίοις, ἢ παρὰ τὸ δορυφορεῖσθαί τινας ὑπό τινων, ἢ
παρὰ τὸ ἐπιβλέπειν ἀλλήλους καὶ συσχηματίζεσθαι ἀλ-
5 λήλοις, ἢ παρὰ τὸ ἐπὶ κέντροις εἶναι. οἶκος δέ ἐστι κατ' 34
αὐτοὺς ἡλίου μὲν λέων, σελήνης δὲ καρκίνος, Κρόνου δὲ 6
αἰγόκερως καὶ ὑδρηχόος, Διὸς τοξότης καὶ ἰχθύες, Ἄρεως
κριὸς καὶ σκορπίος, Ἀφροδίτης ταῦρος καὶ ζυγός, Ἑρμοῦ
δίδυμοι καὶ παρθένος. ὑψώματα δὲ καλοῦσιν ἀστέρων, 35
10 καὶ ταπεινώματα ὡσαύτως, τὰ ἐν οἷς χαίρουσιν ἢ ὀλίγην 10
δύναμιν ἔχουσιν· χαίρουσι μὲν γὰρ ἐν τοῖς ὑψώμασιν, ὀλί-
γην δὲ δύναμιν ἔχουσιν ἐν τοῖς ταπεινώμασιν. οἷον ἡλίου 36
μὲν ὕψωμα κριός, καὶ πρὸς ἀκρίβειαν ἡ ἐννεακαιδεκάτη
τούτου μοῖρα, ταπείνωμα δὲ τὸ διαμετροῦν ζῴδιον, σελή-
15 νης δὲ πάλιν ὕψωμα μὲν ταῦρος ταπείνωμα δὲ τὸ διαμε- 15
τροῦν, Κρόνου ζυγός, Διὸς καρκίνος, Ἄρεως αἰγόκερως,
Ἀφροδίτης ἰχθύες, Ἑρμοῦ παρθένος. καὶ ταπεινώματα
τούτων, ὡς ἔφην, τὰ διαμετροῦντα τῶν ὑψωμάτων. ὅρια δὲ 37
ἀστέρων προσαγορεύουσιν ἐν ἑκάστῳ ζῳδίῳ ἐν οἷς ἕκα-
20 στος τῶν ἀστέρων ἀπὸ ποστῆς μοίρας ἐπὶ ποστὴν μοῖραν 20
πλεῖστον δύναται· περὶ ὧν οὐχ ἡ τυχοῦσα παρ' αὐτοῖς
ἐστι καὶ κατὰ τοὺς πίνακας διαφωνία. δορυφορεῖσθαι δὲ 38
ἀστέρας λέγουσιν, ὅταν μέσοι ὦσιν ἄλλων ἀστέρων ἐν
συνεχείᾳ ζῳδίων· οἷον ἐὰν τοῦ αὐτοῦ ζῳδίου ὃς μέν τις
25 ἀστὴρ τὰς πρώτας ἐπέχῃ μοίρας ὃς δὲ τὰς τελευταίας 25
ὃς δὲ τὰς ἐν μέσῳ, δορυφορεῖσθαι λέγεται ὁ ἐν μέσῳ
ὑπὸ τῶν τὰς ἐπ' ἄκροις ἐπεχόντων μοίρας. ἐπιβλέπειν δὲ 39
λέγονται ἀλλήλους καὶ συμφωνεῖν ἀλλήλοις ὡς οἱ κατὰ
τρίγωνον ἢ τετράγωνον φαινόμενοι. κατὰ τρίγωνον μὲν
30 οὖν σχηματίζονται καὶ ἐπιθεωροῦσιν ἀλλήλους ἀστέρες οἱ 30

§ 34 v. p. 179 tab. fig. 2, cf. Firmic. Mat. II 2 || 35 v. fig. 3, cf. Firmic. Mat. II 3, Ptol. ap. I 20 p. 43 sqq. Boll-Boer || 37 cf. Firmic. Mat. II 6 || 37—38 = Hippol. el. IV 1, 1 || 39 = ibid. 2

1 ἴσχυν LVr: ἔχειν CR || 2 ὑπάρχειν om. ς || 3 ὅροις S || 5 κέντρον S || 7 ὑδροχόος ςS | διὸς δὲ τοξ. S || 11 χαίρουσι — 12 ἔχουσιν om. S || 17 ἑρμοῦ παρθένος om. ABCR || 18 τοῖς ὑψώμασιν S || 26 μέσῳ, ὃς καὶ δορ. $S_1$ || 29.30 μὲν οὖν ELVrς: μὲν $S_2$: δὲ $S_1$

734 ἐπὶ τριῶν ζῳδίων ἔχοντες τὸ μεταξὺ διάστημα, κατὰ
40 τετράγωνον δὲ οἱ δυοῖν. | καὶ δοκεῖ κατὰ μὲν τρίγωνον 735
ἀγαθοποιῷ κακοποιὸς συσχηματιζόμενος εὐεργετικὸς εἶ-
ναι καὶ πολὺ μᾶλλον ἀγαθοποιός, ἀγαθοποιῷ δὲ ἤπιος
5 αὐτὸ μόνον, καὶ κακοποιὸς κακοποιῷ, κατὰ δὲ τὸ τετρά-
γωνον ἀνάπαλιν. ἐπίκεντροι δὲ λέγονται οἱ ἐπί τινος τῶν 5
κέντρων θεωρούμενοι, ἤτοι ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ
μεσουρανήματος ἢ δύσεως ἢ ἀντιμεσουρανήματος.
41 Ἀλλὰ γὰρ τούτων οὕτως ἡμῖν ὡς ἐν τύπῳ καὶ ὁλο-
10 σχερῶς ἐκκειμένων προληπτέον ὡς ἀπ' αὐτῶν ὁρμηθέντες
οἱ Χαλδαῖοι τὰς προαγορεύσεις ποιοῦνται τῶν ἀποτελε- 10
σμάτων. διαφορὰ δὲ ἔστιν αὐτῶν, ἐπεὶ τὰ μὲν ἁπλούστερα
καθειστήκει τὰ δὲ ἀκριβέστερα, καὶ ἁπλούστερα μὲν τὰ
κατὰ ζῴδιον ἢ ἁπλῆν ἀστέρος δύναμιν γινόμενα, οἷον ὅτι
15 ὅδε ὁ ἀστὴρ ἐν τῷδε τῷ ζῳδίῳ γενόμενος τοιούτους
42 ποιεῖ, ἀκριβέστερα δὲ τὰ κατὰ συνδρομὴν καί, ὡς αὐτοὶ 15
λέγουσι, τὰ κατὰ σύγκρασιν πλειόνων, οἷον 'ἐὰν ὅδε μὲν
ὡροσκοπῇ ὅδε δὲ μεσουρανῇ ὅδε δὲ ἀντιμεσουρανῇ οἱ δὲ
ἄλλοι οὕτως ἔχωσι, συμβήσεται τάδε'.
43 Ὁ μὲν οὖν χαρακτὴρ τῆς Χαλδαϊκῆς μεθόδου τοιοῦτος 20
21 ἔοικεν εἶναι· ῥᾴδιον δ' ἐστὶ λοιπὸν ἐπὶ παραδοθέντι τούτῳ
συμπεριφέρεσθαι ταῖς κομιζομέναις ἀντιρρήσεσιν. καὶ δὴ
ἔνιοι μὲν ἀγροικότερον πειρῶνται διδάσκειν ὡς οὐ πάν-
44 τως συμπάσχει τοῖς οὐρανίοις τὰ ἐπίγεια· οὐδὲ γὰρ οὕ-
25 τως ἥνωται τὸ περιέχον ὡς τὸ ἀνθρώπινον σῶμα, ἵνα
ὃν τρόπον τῇ κεφαλῇ τὰ ὑποκείμενα μέρη συμπάσχει καὶ 25
τοῖς ὑποκειμένοις ἡ κεφαλή, οὕτω καὶ τοῖς ἐπουρανίοις
τὰ ἐπίγεια, ἀλλά τις ἔστι τούτων διαφορὰ καὶ ἀσυμπά-

§ **39—40** Firm. Mat. II 22 || **43** *ἔνιοι* cf. e. g. Favorin. ap. Gell. n. A. XIV 1, 1—13

**1** *ἐπὶ* om. $S_1$: del. Bekk.: restituit Nebe | *τριῶν διάστημα μεταξὺ ἔχοντες* $S_1$ | *διάλειμμα* Nebe sec. Hippol. || **3** *σχηματιζ.* LVrS || **5** *τὸ* om. ς || **7** *ἐπὶ* S: *ὑπὸ* cett. || **14** *γενόμενα* S | *ὅτι* om. S || **17** *κατὰ συγγραφὴν* S || **17** et **18** *ὧδε* VC || **18** *μὴ μεσουρανῇ* pro *ἀντιμεσουρανῇ* ELVr: idem, sed mg. add. *ἀντι* VC: *μὴ ἀντιμεσ.* B || **26** *συμπάσχει* S: *-σχῃ* cett.

735
*θεια ὡς ἂν μὴ μίαν καὶ τὴν αὐτὴν ἐχόντων ἕνωσιν. ἄλλοι* 45
*δὲ καὶ τὸν περὶ εἱμαρμένης κινοῦσι λόγον· εἰ γὰρ μὴ*
30 *πάντα γίνεται κατὰ εἱμαρμένην, οὐκ ἔστι Χαλδαϊκὴ ἡ*
*τοῦτο ἀξιοῦσα [κατὰ εἱμαρμένην εἶναι]. οὐκ ὀλίγοι δὲ*
736 *ἦσαν | οἱ κἀκεῖνο συνερωτῶντες· ἐπεὶ τῶν γινομένων τὰ* 46
*μὲν κατ' ἀνάγκην γίνεται τὰ δὲ κατὰ τύχην τὰ δὲ παρ'* 6
*ἡμᾶς, πάντως οἱ Χαλδαῖοι, εἰ δυνατῆς ἐφίενται προρρή-*
*σεως, ἤτοι ἐν τοῖς κατ' ἀνάγκην ποιήσονται τὰς προαγο-*
5 *ρεύσεις ἢ ἐν τοῖς κατὰ τύχην ἐκβαίνουσιν ἢ ἐν τοῖς παρ'*
*ἡμᾶς. καὶ εἰ μὲν ἐν τοῖς κατ' ἀνάγκην, ἀνωφελεῖς εἰσιν* 47
*ἐν τῷ βίῳ· τὸ γὰρ κατ' ἀνάγκην συμβαῖνον οὐκ ἔστιν* 11
*ἐκκλῖναι, ἀλλ' ἐάν τε θέλωμεν ἐάν τε μὴ θέλωμεν, ἐκ-*
*βῆναι δεῖ τὸ τοιοῦτο. τότε δ' ἂν χρειώδης ἐτύγχανεν ἡ*
10 *πρόρρησις, εἰ πρὸς τὴν ἔκκλισιν αὐτοῦ τὴν ἀναφορὰν*
*ἐλάμβανεν. εἰ δ' ἐν τοῖς τυχηροῖς, ἀδύνατόν τι ἐπαγγέλ-* 15
*λονται· ἄστατα γὰρ τὰ τυχηρῶς γινόμενα, τῶν δὲ ἀστά-*
*των καὶ ἄλλοτε ἄλλως ἐκβαινόντων οὐκ ἔστιν ἑστῶσαν*
*ποιεῖσθαι τὴν προαγόρευσιν. λείπεται οὖν ἐν τοῖς παρ'* 48
15 *ἡμᾶς γιγνομένοις αὐτοὺς ποιεῖσθαι τὰς προρρήσεις. ὃ*
*πάλιν ἀμήχανον· τὸ γὰρ ἐπ' ἐμοὶ κείμενον ἐκβῆναι ἢ μή,* 20
*καὶ τὸ μὴ ἔχον ἀρχῆθεν προκαταβεβλημένην αἰτίαν, οὐκ*
*ἂν δύναιτό τις προλέγειν. οὐκ ἄρα δυνατῆς ἐφίενται προρ-*
*ρήσεως οἱ Χαλδαῖοι.*

20 *Οἱ μὲν οὖν πλείους διὰ τοιούτων τινῶν ἀκροβολισμῶν* 49
*πειρῶνται τὴν Χαλδαϊκὴν μέθοδον ἀναιρεῖν· ἡμεῖς δὲ* 25
*κατὰ τὸν ὅμοιον τῆς ἐπιχειρήσεως τρόπον τὰς ἀρχὰς καὶ*
*ὥσπερ στοιχεῖα ταύτης κινήσαντες ἕξομεν ⟨σὺν⟩ αὐταῖς*
*καὶ τὴν τῶν λοιπῶν θεωρημάτων σύστασιν ἠθετημένην.*

§ 46 in G hoc diagr.: *τὰ γινόμενα*

| *ἢ κατ' ἀνάγκην* | *ἢ τύχην* (*τέχνην* B) | *ἢ ἐφ' ἡμῖν* |
|---|---|---|


**3** *οὐκ* — **4** *εἱμαρμένην* om. S, homoeoteleuton, itaque Nebe verba *κατὰ — εἶναι* a Bekk. deleta restituere vult || **8** *τὴν προαγόρευσιν* S || **11** *ἐν* om. S || **17** *ἄλλως τε* VC | *οὐκ ἔστιν* A S₁ Gen. Fabr.: *οὐκ ἔνεστιν* cett. || **19** *αὐτοὺς* om. S | *τὴν προαγόρευσιν* S || **24** *τινῶν* om. S || **26** *τὸν ὁμόθεν* Bury || **27** ⟨*σὺν*⟩ add. Bury, Bekk. autem 28 ⟨*συν*⟩*ηθετημένην* dub.

736

50 Ἀρχὴ τοίνυν καὶ ὥσπερ θεμέλιος τῆς Χαλδαϊκῆς ἐστι 25
τὸ στῆναι τὸν ὡροσκόπον· ἀπὸ τούτου γὰρ τὰ λοιπὰ τῶν
κέντρων λαμβάνεται, τά τε ἀποκλίματα καὶ αἱ ἐπαναφο-
ραὶ τά τε τρίγωνα καὶ τὰ τετράγωνα καὶ οἱ κατ' αὐτὰ
5 σχηματισμοὶ τῶν ἀστέρων, ἀπὸ δὲ πάντων τούτων αἱ
51 προαγορεύσεις. ὅθεν ἀναιρεθέντος τοῦ ὡροσκόπου κατ' 30
ἀνάγκην οὐδὲ τὸ μεσουρανοῦν ἐστιν ἢ δῦνον ἢ ἀντιμεσου-
ρανοῦν γνώριμον· τούτων δὲ ἀκαταληπτουμένων συνα-|
52 φανίζεται πᾶσα ἡ Χαλδαϊκὴ μέθοδος. ὅτι δὲ ἀνεύρετον 737
10 αὐτοῖς ἐστι τὸ ὡροσκοποῦν ζῴδιον, ποικίλως ἔνεστι δι-
δάσκειν. ἵνα γὰρ τοῦτο καταληφθῇ, δεῖ πρῶτον μὲν τὴν
γένεσιν τοῦ πίπτοντος ὑπὸ τὴν ἐπίσκεψιν βεβαίως κατει-
λῆφθαι, δεύτερον δὲ τὸ διασημαῖνον ταύτην ὡροσκόπιον 5
ἀπλανὲς ὑπάρχειν, τρίτον δὲ τὴν ἀναφορὰν τοῦ ζωδίου
53 πρὸς ἀκρίβειαν συνῶφθαι. ἐπὶ μὲν γὰρ τῆς ἀποτέξεως ἡ
16 ἀναφορὰ τοῦ κατ' οὐρανὸν ἀνίσχοντος ζωδίου τετήρηται,
καθάπερ διακόνῳ πρὸς τὴν τήρησιν τοῦ ὡροσκόπου χρη-
σαμένων τῶν Χαλδαίων· ἐπὶ δὲ τῇ ἀναφορᾷ ὁ συσχη- 10
ματισμὸς τῶν ἄλλων ἀστέρων, ὅπερ διάθεμα καλοῦσι, καὶ
54 ἐπὶ τῷ διαθέματι αἱ προαγορεύσεις. οὔτε δὲ τὴν γένεσιν
21 τῶν ὑπὸ τὴν ἐπίσκεψιν πιπτόντων λαμβάνειν δυνατόν
ἐστιν, ὡς παραστήσομεν, οὔτε τὸ ὡροσκόπιον ἀπλανὲς
καθέστηκεν, οὔτε τὸ ἀνίσχον ζώδιον πρὸς ἀκρίβειαν 15
καταλαμβάνεται. τοίνυν ἀσύστατός ἐστιν ἡ τῶν
55 Χαλδαίων μέθοδος. λέγωμεν δὴ περὶ τοῦ πρώτου
26 πρῶτον.

§ 50 = Hippol. el. IV 3, 1 || 51 = ibid. 2 || 52 = ibid. 3 || 53—54 = ibid. 4 || 55 = ibid. 5 | cf. Ptol. ap. III 2 Favorin. ap. Gell. n. A. XIV 1, 19

ad § 55sq. in codd. hoc diagr.:




2 στῆναι G et Hippolyti cod.: στῆσαι ci. Bekk.: restit. Nebe || 3 αἱ $S_1$ et coniecerat Bekk.: om. cett. || 7 τὸ om. S: τοῦ L | ἔσται $S_1$ || 10 ἐστὶν αὐτοῖς S || 11 μὲν om. $S_1$ || 12. 21. et p. 151, 1 σκέψιν ς || 12 βεβαίως om. $S_1$ || 18 σχηματισμὸς S, recepit Nebe cum Hippol. || 21 ὑπὸ Hippolyt. Bekk.: ἐπὶ G || 25 λέγομεν ELς | δὲ B edd.

737
Τὴν δὴ γένεσιν τῶν ὑπὸ τὴν ἐπίσκεψιν πεσουμένων
ἀρχαϊκώτερον ἤτοι ἀπὸ τῆς τοῦ σπέρματος καταβολῆς
20 καὶ συλλήψεως λαμβάνουσιν ἢ ἀπὸ τῆς ἐκτέξεως. ἀλλ'
ἀπὸ μὲν τῆς τοῦ σπέρματος καταβολῆς καὶ συλλήψεως
οὐκ ἂν εἴποιεν· ἀκατάληπτος γάρ ἐστιν ὁ ἀκριβὴς ταύτης 5
χρόνος. καὶ εἰκότως· οὐ γὰρ ἔχομεν λέγειν εἴτε ἅμα τῇ 56
θέσει τοῦ σπέρματος γέγονεν ἡ σύλληψις εἴτε καὶ μή.
25 δύναται μὲν γὰρ καὶ ἅμα νοήματι τοῦτο συμβαίνειν, ὥσπερ
καὶ τὸ προσαχθὲν τοῖς διαπύροις τῶν κλιβάνων στέαρ
(τοῦτο γὰρ εὐθὺς κολλᾶται), δύναται δὲ καὶ μετὰ χρόνον, 57
ἐπείπερ καὶ τὰ εἰς τὴν γῆν καταβαλλόμενα τῶν σπερμά- 11
των οὐκ εὐθὺς ῥιζοβολοῦντα συμπλέκεται ταῖς ὑποκειμέ-
30 ναις βώλοις. καὶ διαστήματος δὲ ὄντος ἀπὸ τοῦ στόματος
τῆς μήτρας μέχρι τοῦ πυθμένος, ἔνθα καὶ τὰς συλλήψεις
λέγουσι γίνεσθαι ἰατρῶν παῖδες, πάντως ἐν χρόνῳ τινὶ 15
738 τὸ διάστημα | τοῦτο ἀνύειν πέφυκεν ἡ καταβαλλομένη
τοῦ σπέρματος φύσις. οἱ δὲ τούτου ἀγνοοῦντες τὴν ποσό- 58
τητα τοῦ χρόνου κατὰ τὸ ἀκριβές, Χαλδαῖοι τὴν σύλληψιν
οὐδέποτε καταλήψονται. τοῦ ⟨γὰρ⟩ σπέρματος ὁτὲ μὲν
5 εὐθυβολουμένου καὶ αὐτοῖς προσπίπτοντος ὑφ' ἓν τοῖς 20
εὐφυῶς ἔχουσι πρὸς σύλληψιν τῆς μήτρας τόποις, ὁτὲ δὲ
πολυσπόρως ἐμπίπτοντος, ὑπ' αὐτῆς δὲ τῆς ἐν τῇ μήτρᾳ
δυνάμεως εἰς ἕνα τόπον συνάγεσθαι δυναμένου, τῶν ἀγνώ-
στων ὑπάρχει τὸ πότε γίγνεται τὸ πρῶτον καὶ πότε τὸ
10 δεύτερον, πόσος τε ὁ εἰς ἐκείνην τὴν σύλληψιν ἀναλισκό- 25
μενος χρόνος καὶ πόσος ὁ εἰς ταύτην. ἀγνοουμένων δὲ 59
τούτων οἴχεται καὶ ἡ πρὸς ἀκρίβειαν τῆς συλλήψεως κατά-

**§ 56—57** = Hippol. el. IV 3, 7 ‖ **58** = ibid. IV 3, 8 ‖ **59** = ibid. 8—9

**1** *ἐπὶ τὴν* S | *σκέψιν* ς ‖ **2** *ἤτοι ἀρχ.* trp. Harder ‖ **3** *λαμβάνουσιν* — **4** *συλλήψεως* om. S ‖ **5** *λάβοιεν· ἄληπτος* ci. Nebe sec. Hippol. ‖ **8** *μὲν* om. LVr $S_1$ ‖ **9** *στέας* ELVr cod. editionis Gen. in marg. ‖ **11** *τὴν* om. $S_1$ ‖ **12** *τοῖς ὑποκειμένοις* S ‖ **14** *μέχρι καὶ τοῦ* S ‖ **16** *ἀνύειν* Nebe sec. Hippolyt.: *ποιεῖν* G edd. ‖ **17** *οἱ* ς S: *εἰ* ELVr cod. Gen. in marg. | *τούτου* ci. Bekk.: *τοῦτο* G ‖ **19** *γὰρ* add. Nebe Bury sec. Herv. | *ποτὲ* S ‖ **22** *ὑπ'* $S_1$: *ἐπ'* cett. ‖ **23** *μὴ* post *συνάγεσθαι* Gen. Herv. ‖ **24** *ὑπάρχει* conieci: *ὑπάρχον* $S_1$: om. cett. ‖ **25** *ἐστὶν* pro *τε* S

738

ληψις. εἴπερ τε, ὥς τινες τῶν φυσικῶν εἰρήκασιν, ἑψό-
μενον πρῶτον καὶ προμεταβαλλόμενον ἐν μήτρᾳ τὸ σπέρμα
τότε προσέρχεται τοῖς ἀναστομωθεῖσιν αὐτῆς ἀγγείοις, 15
αὐτόθεν οὐκ εἰδότες τὴν ποσότητα τοῦ τῆς μεταβολῆς
60 χρόνου οὐκ εἴσονται οὐδὲ τὸν τῆς συλλήψεως καιρόν. καὶ
6 μὴν ὥσπερ κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος ἐν ταῖς
τῶν μερῶν ἐνεργείαις διαφέρουσιν ἀλλήλων αἱ γυναῖκες,
οὕτως εἰκὸς αὐτὰς καὶ κατὰ τὴν τῆς μήτρας ἐνέργειαν 20
διαφέρειν, τὰς μὲν θᾶττον συλλαμβανούσας τὰς δὲ βρά-
10 διον. καὶ οὐ παράδοξον, ὅτε καὶ ⟨αὐταὶ⟩ ἑαυταῖς συγκρι-
νόμεναι νυνὶ μὲν εὐσύλληπτοι θεωροῦνται νυνὶ δὲ οὐδα-
61 μῶς. τούτου δὲ οὕτως ἔχοντος τῶν ἀδυνάτων ἐστὶ λέγειν
πρὸς ἀκρίβειαν τὸ πότε συνέσχηται τὸ καταβληθὲν σπέρ- 25
μα, ἵνα καὶ ἀπὸ τούτου τοῦ χρόνου στήσωσιν οἱ Χαλδαῖοι
62 τὸν τῆς γενέσεως ὡροσκόπον. καὶ μὴν οὐδὲ ἔνεστι λέγειν
16 ὡς διὰ σημείων τινῶν καταλαμβάνεσθαι πέφυκεν ὁ τῆς
συλλήψεως χρόνος, καθάπερ ἐκ τοῦ κατεξηράνθαι μὲν
μετὰ τὴν μῖξιν τοὺς γυναικείους κόλπους, μεμυκέναι δέ, 30
εἰ οὕτω τύχοι, τὸ τῆς | μήτρας στόμιον, ἐπεσχῆσθαι δὲ 739
63 τὴν ἔμμηνον κάθαρσιν, κίσσαν δὲ ἐπιγίγνεσθαι. πρῶτον
21 μὲν γὰρ καὶ ταῦτα κοινοποιεῖται τὰ σημεῖα πρὸς τὰς μὴ
συνειληφυίας· εἶτα καὶ εἰ μὴ κοινοποιοῖτο, γενομένην ἤδη
κατὰ πλάτος πλειόνων ἡμερῶν διελθουσῶν σύλληψιν δη- 5
λοῖ, καὶ οὐ πρὸς ἀκρίβειαν καὶ ὑπόγυον καὶ ἐν ὡριαίοις
64 κειμένην διαστήμασιν. χρείαν δ' ἔχουσιν οἱ Χαλδαῖοι
26 πρὸς διάγνωσιν τῶν διαφερόντων βίων οὐ τοῦ ὁλοσχε-
ροῦς καὶ ἐν πλάτει χρόνου τῆς συλλήψεως, τοῦ δὲ πρὸς
ἀκρίβειαν.

§ **59** *τινες* cf. Hippocr. de nat. pueri 12 (VII 486 L.) || **60** = Hippol. el. IV 3, 10 || **61** = ibid. 11

**2** *πρότερον* S | *προμεταβαλλόμενον* S Hippolyt.: *προμεταβάλλον* cett. || **3** *αὐτοῖς* SV: *αὐτῷ* mavult Harder || **6** *ὥσπερ καὶ τὰ* G: corr. Bekk. || **10** *ὁ* pro *ὅτε* VC | *αὐταὶ* add. Nebe ex Hippolyt. || **13** *καταληφθὲν* VC || **14** *συστήσωσιν* G: corr. Bekk., probat Nebe cl. Hippolyto || **21** *κοινῇ ποιεῖται* ς || **22** *τὸ γενόμενον* $S_1$: *γενόμενον* cett.: corr. Bekk. || **23** *ποιεῖ* pro *δηλοῖ* S || **24** *ὁ* pro *οὐ* S | *ὑπόγειον* ς: *ὑπόγυιον* edd. || **25** *κείμενος* $S_1$ | *διαστήμασι χρόνος ἔχεται. χρείαν δ'* etc. $S_1$

739

10 Ἀλλὰ γὰρ ἐκ τούτων πρόδηλον ὅτι οὐχ οἷόν τέ ἐστιν ἀπὸ συλλήψεως τὸν ὡροσκόπον ἱστάναι. καὶ μὴν οὐδ' ἐξ 65 ἀποτέξεως. πρῶτον μὲν γὰρ ἄπορόν ἐστι τὸ πότε ῥητέον ἀπότεξιν εἶναι, ἆρά γε ὁπόταν ἄρχηται προκύπτειν εἰς τὸν ψυχρὸν ἀέρα τὸ ἀποτικτόμενον, ἢ ὅταν ὅλον ἐξίσχῃ, 5
15 ἢ ὅταν εἰς τὴν γῆν κατενεχθῇ. εἶτα οὐδὲ ἐφ' ἑκάστου 66 τούτων δυνατόν ἐστι τὸν ἀκριβῆ τῆς ἀποτέξεως χρόνον ὁρίζειν· καὶ γὰρ διὰ παράστημα ψυχῆς καὶ δι' ἐπιτηδειότητα σώματος καὶ προδιάθεσιν τῶν τόπων καὶ δι' ἐμπειρίαν μαίας καὶ ἄλλας ἀπείρους προφάσεις οὐχ ὁ αὐτός 10
20 ἐστι χρόνος καθ' ὃν προκύπτει τὸ τικτόμενον ῥαγέντων τῶν ὑμένων ἢ ἐκτὸς ὅλον γίνεται ἢ εἰς τὴν γῆν καταφέρεται, ἀλλ' ἄλλος ἐπ' ἄλλων. ὃν πάλιν μὴ δυνάμενοι 67 ὡρισμένως καὶ ἀκριβῶς σταθμήσασθαι οἱ Χαλδαῖοι ἐκπεσοῦνται τοῦ δεόντως τὴν τῆς ἀποτέξεως ὥραν ὁρίζειν. 15

25 Ὅτι μὲν οὖν τὸ ὅσον ἐπὶ τοῖς τῆς ἀποτέξεως χρόνοις ἐπαγγέλλονται μὲν τὸν ὡροσκόπον γινώσκειν Χαλδαῖοι, οὐκ ἴσασι δέ, ἐκ τούτων συμφανές· ὅτι δὲ οὐδὲ τὸ ὡρο- 68 σκόπιον ἀπλανές ἐστιν αὐτοῖς, πάρεστι κατὰ τὸν ὅμοιον ἐπιλογίζεσθαι τρόπον. ὅταν γὰρ λέγωσιν ὅτι ὁ παρε- 20
30 δρεύων τῇ ὠδινούσῃ τὴν ἀπότεξιν δίσκῳ σημαίνει τῷ ἐπὶ τῆς ἀκρωρείας ἀστεροσκοποῦντι Χαλδαίῳ, κἀκεῖνος εἰς
740 οὐρα|νὸν ἀποβλέπων ἐπισημειοῦται τὸ ἀνίσχον ζῴδιον, τὸ μὲν πρῶτον ὑποδείξομεν αὐτοῖς, ὅτι τῆς ἀποτέξεως ἀορίστου τυγχανούσης, καθὼς μικρῷ πρόσθεν παρεστή- 25 σαμεν, οὐδὲ τὸ δίσκῳ διασημαίνειν ταύτην εὔκολον. εἶτα 69
5 ἔστω καὶ καταληπτὴν τυγχάνειν τὴν ἀπότεξιν, ἀλλ' οὔ

§ 65 sqq. cf. Pseud. Galen. *περὶ τοῦ πῶς ἐμψυχοῦται* etc. ed. Kalbfleisch Abh. Berlin 1895, 57, 3sqq. || 65 = Hippol. el. IV 4, 1 || 66 = ibid. 2 || 67 = ibid. 3 || 68 = ibid. 3—4 || 69 = ibid. 5

2. 3 *ἐξ ἀποτέξεως* S Hippolyt. Nebe Bury: *ἀπὸ τέξεως* cett. Bekk. || 5 et 12 *ὅλον* Nebe sec. Hippolyti cod.: *ὀλίγον* G edd. || 9 *προδιάθεσιν* ci. Bury: *πρὸς διάθεσιν* G: *διὰ προαίρεσιν* Hippolyt. | *τόκων* ci. Nebe || 11 *ἐστι* om. S || 12 v. supr. ad 5 || 13 *ἐπ' ἄλλῳ* G: corr. Bekk., probat Nebe cl. Hippolyto | *ὅ* G || 17 *εἰδέναι* pro *γινώσκειν* $S_1$ || 22 *ὡροσκοποῦντι* $S_1$ || 26 *τῶ* G: corr. Bekk. || 27 *καὶ* om. S | *καταληπτικὴν* LV$^{r}$ Gen. Herv. || 27sq. *οὔτε* S

γε πρὸς ἀκριβῆ χρόνον ταύτην παρεπισημειοῦσθαι δυνατόν ἐστιν. τὸν γὰρ τοῦ δίσκου ψόφον ἐν πλείονι χρόνῳ καὶ ἐν συχνῷ πρὸς αἴσθησιν δυναμένῳ μερίζεσθαι κινεῖσθαι συμβέβηκεν ἐπὶ τὴν ἀκρώρειαν. τεκμήριον δὲ τὸ ἐπὶ
5 τῶν ἐν τῇ ὀρεινῇ δενδροτομούντων θεωρούμενον· μετὰ 10
γὰρ ἱκανὴν ὥραν τοῦ κατενεχθῆναι τὸν πέλεκυν ἐξακούεται ἡ τῆς πληγῆς φωνὴ ὡς ἂν ἐν πλείονι χρόνῳ φθάνουσα
70 ἐπὶ τὸν ἀκούοντα. καὶ διὰ τοῦτο τοίνυν οὐκ ἔστιν ἀκριβῶς τοῖς Χαλδαίοις τὸν χρόνον τοῦ ἀνίσχοντος ζῳδίου καὶ
10 κατ' ἀκρίβειαν ὡροσκοποῦντος λαμβάνειν. καὶ μὴν οὐ 15
μόνον φθάνει πλείων διελθεῖν χρόνος μετὰ τὴν ἀπότεξιν, ἐν ᾧ γίνεται ὁ ἦχος ἀπὸ τοῦ ταῖς τῆς τικτούσης ὠδῖσι παρεδρεύοντος ὡς ἐπὶ τὸν ἀστεροσκοποῦντα· ἀλλὰ καὶ ἐν ᾧ οὗτος ἀναβλέπει καὶ περισκοπῶν ἐξετάζει τὸ ἐν τίνι
15 τῶν ζῳδίων ἐστὶν ἡ σελήνη καὶ τῶν λοιπῶν ἀστέρων 20
ἕκαστος, φθάνει ἀλλοῖον γενέσθαι τὸ περὶ τοὺς ἀστέρας διάθεμα, τῆς τοῦ κόσμου κινήσεως ἀλήκτῳ τάχει περιφερομένης, πρὶν τηρητικῶς παραπλάσασθαι τῇ τοῦ γεν-
71 νηθέντος ὥρᾳ τὰ κατ' οὐρανὸν βλεπόμενα. ἄλλως τε ἡ
20 τοιαύτη παρατήρησις νύκτωρ ἴσως δύναται προκόπτειν 25
τοῖς Χαλδαίοις, ὅτε τά τε ἐν τῷ ζῳδιακῷ βλέπεται κύκλῳ καὶ οἱ σχηματισμοὶ τῶν ἀστέρων εἰσὶν ἐμφανεῖς. ἐπεὶ οὖν τινὲς καὶ μεθ' ἡμέραν γεννῶνται, ὅτε οὐδὲν τῶν προειρημένων δυνατόν ἐστι παρασημειοῦσθαι, μόνας δέ,
25 εἰ καὶ ἄρα, τὰς τοῦ ἡλίου κινήσεις, ῥητέον ἐπὶ τινῶν μὲν 30
δυνατὴν εἶναι | τὴν τῶν Χαλδαίων μέθοδον ἐπὶ τινῶν δὲ 741
72 ἀδύνατον. ὅρα δὲ μή ποτε καὶ νύκτωρ οὐκ ἰσχύουσιν ἀπλανεῖς διὰ παντὸς ποιεῖσθαι τὰς τῶν οὐρανίων παρατηρήσεις· πολλάκις γὰρ συννεφεῖς εἰσιν αἱ νύκτες καὶ ἀχλυώδεις,

§ 70 = Hippol. el. IV 4, 6—7

**1** *ταύτης* ς | *παρασημειοῦσθαι* ς edd. || **3** *καὶ ἐν συχνῷ* om., in marg. suppl. B: om. Herv.: del. Bury | *δυνάμενον* G: corr. Hackforth ap. Bury || **4.5** *δὲ τῶν ἐπὶ τῇ* Sς: *δὲ τῶν ἐπὶ τῶν ἐν τῇ* marg. cod. Gen. || **7** *φωνῆς πληγὴ* VC || **11** *πλείω διελθεῖν χρόνον* S || **17** *διάθημα* ELVrGen. | *ἀλήκτω* S Nebe: *ἀλέκτω* cett. || **22** *συσχημ.* S || **24** *παρασημειώσασθαι* S || **27** *ἰσχύσουσιν* E

741
5 *ἀγαπητὸν δὲ ἦν πάσης ἀναιρουμένης τοιαύτης προφάσεως*
*τὸ βέβαιον εὑρεῖν ἐν τῷ μαθήματι, μή τοί γε καὶ κωλύ-*
*ματός τινος ὄντος πρὸς τὴν ἀκριβῆ τῶν οὐρανίων κατά-*
*ληψιν.*

*Ἀθετήσαντες δὴ καὶ τὸ κατὰ τοὺς Χαλδαίους ὡροσκό-* 73
10 *πιον, συντόμως τε παραστήσαντες τὸν κατὰ τὴν γένεσιν* 6
*χρόνον ἄληπτον αὐτοῖς εἶναι, ἐπὶ τὸ λειπόμενον τῆς ὑπο-*
*σχέσεως* (§ 52–54) *μέρος χωρῶμεν. ἐλείπετο δὲ καὶ περὶ*
*τῆς ἀναφορᾶς τῆς ἐν τῷ ζῳδιακῷ κύκλῳ διελθεῖν, ἀπο-*
*στάντας τῶν ἔμπροσθεν ἐκκειμένων ἡμῖν ἐλέγχων. φαμὲν* 74
*τοίνυν ὅτι δυσδιόριστοί εἰσιν ἀπ' ἀλλήλων, μᾶλλον δὲ ἀδυ-* 11
15 *νάτως ἔχουσι κατὰ τὸ ἀκριβὲς ὁρισθῆναι αἱ τῶν ζῳδίων*
*μοῖραι, ἀλλ' εἰκός ἐστιν ἤδη ἀνεσχηκὸς ζῴδιον δοκεῖν*
*μήπω ἀνατεταλκέναι, καὶ ἀνάπαλιν μήπω ἀνατεταλκὸς*
*δοκεῖν ἤδη ἀνεσχηκέναι. οὐδὲ γὰρ ἡ προειρημένη τῶν* 75
*ὑδριῶν ἔφοδος* (§ 24 sq.) *δύναταί τι τοῖς Χαλδαίοις παρ-* 16
20 *επικουρεῖν, ἐπείπερ καὶ παρὰ τὸ ῥέον ὕδωρ καὶ παρὰ*
*τὴν τοῦ ἀέρος κρᾶσιν ἀνώμαλα τὰ τῆς ῥύσεως καὶ τῶν*
*ἀντιπαρηκόντων τῇ ῥύσει χρόνων. τὴν μὲν γὰρ τοῦ ὕδατος*
*φορὰν εἰκός ἐστιν ἀνόμοιον γίνεσθαι κατ' ἀρχάς, ὅτε κα-* 20
*θαρόν ἐστι τὸ ῥέον, καὶ ἐξ ὑστέρου, ὅτε ἰλυῶδες καὶ*
25 *δυσρευστότερον· τὴν δὲ τοῦ ἀέρος κρᾶσιν πιθανὸν ἀχλυώ-* 76
*δους μὲν καὶ παχυτέρου ὄντος ἀντιπίπτειν τῇ ἐκρύσει,*
*τρόπον τινὰ ἐμφράττουσαν αὐτήν, διαυγοῦς δὲ καὶ λεπτο-*
*μεροῦς καθεστῶτος συνεργεῖν μᾶλλον. καὶ αὐτὸς δὲ ὁ* 77
*ἀμφορεὺς οὐχ ὡσαύτως ῥυήσεται πλήρης καθεστώς, ὡσαύ-* 26
30 *τως δὲ ἡμίκενος ἢ πρὸς τῷ κενοῦσθαι τυγχάνων, ἀλλ'*
742 *ὁτὲ μὲν ὀξύτερον ὁτὲ δὲ | βραδύτερον ὁτὲ δὲ μέσως, τῆς*
*οὐρανίου φορᾶς ἰσοταχῶς διὰ παντὸς ἐλαυνομένης. τὸ δὲ* 78
*πάντων κυριώτατον, ἕκαστον τῶν ζῳδίων οὐ συνεχές* 80
*ἐστι σῶμα, οὐδ' ὥσπερ ἡρμολογημένον τῷ πρὸ ἑαυτοῦ*

2 *τί* ELSC || 6 *τὸν* — 7 *εἶναι* $S_1$: *ὅτι μετὰ* (suprscr. *κατὰ* $S_2$) *τῶν* (*τὸν* et infra *χρόνον* suprscr. R, habent $S_2$ ς) *τῆς γενέσεως χρόνων ἄληπτόν ἐστιν αὐτοῖς* cett. || 7 *λοιπὸν* S || 11 *ὑπ'* ς || 12 *διορισθῆναι* $S_1$ || 13 *καὶ* pro *ἀλλ'* $S_1$ || 14 *καὶ* — 15 *ἀνεσχηκέναι* om. S || 22 *τὴν δὲ* vulgo: *κατὰ δὲ τὴν* $S_1$ || 23 *ἐκκρίσει* ELSCVR, sed suprscr. *ρυ* VC, *κρυ* R || 24 *ἀντιφράττουσα* ς: *ἐμφράττων* $S_1$ | *αὐτὸν* $S_2$

742

καὶ τῷ μεθ' αὐτὸ συνῆπται μηδεμιᾶς μεταξὺ πιπτούσης 5
διαστάσεως, ἀλλ' ἐκ διεσπαρμένων ἀστέρων συνέστηκε
καὶ μεταξύτητάς τινας ἐχόντων καὶ διαλείμματα, τοῦτο
79 μὲν κατὰ τὴν μεσότητα τοῦτο δὲ πρὸς τοῖς πέρασιν. ὅθεν
5 πάντως, ἀριθμητοῖς μορίοις τῶν ἐν τῷ κύκλῳ ζῳδίων
περιγραφομένων, πλάνην ἀναγκαῖόν ἐστι γίγνεσθαι τοῖς 10
ἀπὸ τῆς γῆς παρατηροῦσι, λανθάνοντος αὐτοὺς τοῦ προσ-
πίπτοντος διαλείμματος, εἴτε τοῦ προηγουμένου ζῳδίου
80 πέρας ἐστὶν εἴτε τοῦ ἐπανιόντος ἀρχή. οἱ δὲ λόφοι ἐφ'
10 ὧν αἱ ἀστεροσκοπίαι γίνονται, οὐχ οἱ αὐτοὶ πάντοτε δια-
μένουσιν, ἀλλὰ κατὰ μοῖραν ἑτεροιουμένου καὶ μεταβάλ- 15
λοντος τοῦ κόσμου ἤτοι κατακλυσμοῖς ἐξ ὄμβρων ἢ σει-
σμοῖς γῆς ἢ ἄλλοις τισὶ τοιούτοις καθήμασιν ἐνοχλοῦνται,
ὥστε καὶ παρὰ τὴν τούτων ἐξαλλαγὴν μὴ τὰς αὐτὰς τῶν
15 ἀστέρων γίνεσθαι παρατηρήσεις, ἀλλ' ἑτέραν μὲν τοῖς
ἀφ' ὕψους συμβαίνειν παρατήρησιν, διαφέρουσαν δὲ τοῖς 20
ἀπὸ χθαμαλοῦ βλέπουσι, καὶ τὸ ἐκείνοις ὀφθὲν μὴ πάν-
81 τως καὶ τοῖς ἄλλοις τεθεωρῆσθαι. συμπαραλάβοι δ' ἄν
τις ἐνταῦθα καὶ τὴν τῶν αἰσθήσεων παραλλαγήν· ἄλλοι
20 γὰρ ἄλλων εἰσὶν ὀξυωπέστεροι, καὶ ὃν τρόπον τὸ μηδέπω
βλεπόμενον ἡμῖν διὰ ποσὴν ἀπόστασιν, τοῦτο ὡς μέγι- 25
στον κατειλήφασιν ἀετοί τε καὶ ἱέρακες δι' ὑπερβολὴν
ὀξυωπίας, οὕτω τὸ ἀνίσχον ἤδη καὶ ὡροσκοποῦν ζῴδιον
ἐκ μακροῦ διαστήματος τῷ μὴ ὀξυωποῦντι Χαλδαίῳ πι-
25 θανόν ἐστιν ὡς μηδέπω ἀνατεταλκὸς δοξάζεσθαι † καὶ
82 κατὰ σύγκρισιν ἀμβλυωποῦντι †. προσθετέον δὲ τούτοις 30
ὡς ἐναργέστατον τῆς Χαλδαϊκῆς ἔλεγχον καὶ τὴν περὶ
τῷ ὁρίζοντι τοῦ ἀέρος διαφοράν· εἰκὸς γὰρ | παχυμεροῦς 743
αὐτοῦ καθεστῶτος κατὰ ἀνάκλασιν τῆς ὄψεως τὸ ὑπὸ γῆν
30 ἔτι καθεστὼς ζῴδιον δοκεῖν ἤδη ὑπὲρ γῆν τυγχάνειν,

1 *τῶ μετ' αὐτὸ* $S_1$: *μετ' αὐτοῦ* $S_2$: *μετ' αὐτὸ* cett.: corr. Bekk. || 6 *περιγραφόμενος* ς || 9 *ἐφ'* S Nebe: *ἀφ'* cett. || 15 *τοῖς* Bekk.: *τὴν* G || 18 *δὲ* pro *δ' ἂν* S || 20 *μὲν γὰρ* S || 22 *κατειλήφασιν* om., *βλέπουσιν* post 23 *ὀξυωπίας* $S_1$ || 24 *δυνατόν* pro *πιθ.* ς || 25 †—26 † rectam v. l. pro 24 *μὴ ὀξ.* esse ratus ibi trp. (sine *καὶ*) Theiler || 28 *τὸν ὁρίζοντα* S || 28 *ὅτι* ante *παχυμ.* ELVrς$S_2$: *ἐνίοτε* dub. Bekk.: *ὅτι π-ρεστάτου* Bury || 30 *γῆν* S: *γῆς* cett.

743
ὁποῖόν τι καὶ ἐπὶ τῆς ἐφ' ὕδατος ἀντανακλωμένης ἡλια-
κῆς ἀκτῖνος γίνεται· μὴ βλέποντες γὰρ τὸν ἥλιον αὐτὸν
5 ⟨ταύτην⟩ πολλάκις ὡς ἥλιον δοξάζομεν. τὸ δὲ πάντων 83
συνεκτικώτατον, εἰ μὲν πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην
τὰ οὐράνια παρατηροῦσιν ἕκαστον τοῦ ζῳδιακοῦ δωδεκα- 5
τημόριον ἰσοχρόνως ἐφαίνετο καὶ κατὰ τὴν αὐτὴν εὐ-
θεῖαν ἐθεωρεῖτο, τάχ' ἴσως ἂν ἐδύναντο Χαλδαίων παῖ-
δες παγίως λαβεῖν τὸ περὶ τὸν ὁρίζοντα ἀνίσχον ζῴδιον.
10 νυνὶ δὲ ἐπεὶ οὐ παρὰ πᾶσιν ἰσοχρόνως ἀναφαίνεται ἀλλὰ 84
τοῖς μὲν θᾶττον τοῖς δὲ βράδιον καὶ τισὶ μὲν πλάγιον 10
τισὶ δὲ ὀρθόν, ἐπακολουθεῖ τὸ μὴ πᾶσι τὸ αὐτὸ δοκεῖν
ὡροσκοπεῖν ζῴδιον, ἀλλὰ τὸ τούτοις ἤδη δοκοῦν ἀνατε-
15 ταλκέναι, τοῦτ' ἄλλοις ἀκμὴν ὑπόγειον ὑπάρχειν, καὶ τὸ
ἑτέροις φαινόμενον ἐν ἀποκλίματι τοῦ ὡροσκοποῦντος ζῳ-
δίου, τοῦτο ἑτέροις θεωρεῖσθαι ὡροσκοποῦν. καὶ ὅτι 85
ταῦθ' οὕτως ἔχει, πρόδηλον ἐκ τοῦ καὶ τοὺς ἀπλανεῖς 16
ἀστέρας, καθάπερ ἀρκτοῦρον καὶ κύνα, μὴ κατὰ τὸν αὐ-
20 τὸν χρόνον τοῖς ἐν παντὶ κλίματι κατοικοῦσι φαίνεσθαι
ἀλλ' ἄλλοις κατ' ἄλλον.

Ὅτι μὲν οὖν οὐκ ἐνδέχεται κατ' ἀκρίβειαν τὸ ὡροσκο- 20
ποῦν ζῴδιον λαβεῖν, διὰ δὲ τοῦτο οὐδὲ τῶν ἄλλων τι
κέντρων, ἀφ' ὧν αἱ προαγορεύσεις γίνονται τοῖς Χαλ-
25 δαίοις, αὐτάρκως παρεστήσαμεν. ἐκ περιουσίας δὲ λεκτέον 86
ὅτι κἂν καταληπτὸς ᾖ ὁ ἀκριβὴς τῆς τούτων ἐπαναφορᾶς
χρόνος, ἐκεῖνο μὲν συμφανὲς ὅτι οὐδεὶς τῶν παραγινομέ- 25
νων πρὸς τοὺς Χαλδαίους ἰδιωτῶν τετηρηκὼς ἐφ' ἑαυτοῦ
τὸν ἀκριβῆ χρόνον παραγίνεται· πολλῆς γὰρ ἦν τεχνι-
τείας τὸ πρᾶγμα, ὡς πρότερον (§ 27 sqq.) ἐδείκνυμεν,
30 καὶ πλέον ἢ κατ' ἰδιώτην ὁ λόγος ὑπέφαινεν. ἐπεὶ οὖν ὁ 87

§ 83—84 cf. Cic. de div. II 44, 92sq. || 84—85 cf. Hippol. el. IV 5, 2—3 || 86—87 ibid. 5, 1—2

2 γὰρ om. ς || 3 ⟨ ⟩ Bekk. Bury || 4 post τοῖς al. man. add. συνεκτικῶσι καὶ τοῖς marg. B || 6 αὐτὴν om. LVr || 8 παρὰ S || 9 ἐπειδὴ παρὰ πᾶσιν οὐκ ἰσοχρ. S || 12 ὡροσκοποῦν ς || 13 ἐπὶ pro ἀκμὴν $S_1$ || 16 πρόχειρον, suprscr. -δηλον $S_1$ | ἁπλοῦς pro ἀπλαν. ELVr$S_2$ || 25 ὅτι om. $S_1$ || 29 ὁ λόγος om. ELVrς$S_2$: in $S_1$ interpolatum cens. Theiler | ἐπέφαινεν ς: ὑπέ. in ἐπέ. corr. E

Χαλδαῖος οὐκ ἐτή|ρησε τὸν ἀκριβῆ τῆς γενέσεως χρόνον 744
ἐπὶ τοῦδε τοῦ ἰδιώτου ἀλλὰ παρ' αὐτοῦ τοῦτον ἀκούει,
οὑτοσὶ δὲ ὁ ἰδιώτης τὰ μὲν δι' ἀπειρίαν τὰ δὲ καὶ διὰ
τὸ μὴ πάνυ τι ἐσπουδακέναι περὶ τὸ πρᾶγμα πάλιν οὐκ
5 οἶδε τὸν ἀκριβῆ χρόνον, καταλείπεται ἄρα πρόρρησιν μὲν 5
μηδ' ἡντινοῦν βεβαίαν, πλάνην δὲ καὶ φενακισμὸν ἀπὸ
Χαλδαϊκῆς τοῖς ἀνθρώποις περιγίνεσθαι.

88 Εἰ δὲ ἀναστρέψαντες λέγοιεν μὴ τὸν ἀκριβῆ χρόνον
λαμβάνεσθαι ἀλλὰ τὸν ὁλοσχερῆ καὶ ἐν πλάτει, ὑπ' αὐ-
10 τῶν σχεδὸν ἐλεγχθήσονται τῶν ἀποτελεσμάτων· οἱ γὰρ 10
ἐν τῷ αὐτῷ καθ' ὁλοσχέρειαν χρόνῳ γεννηθέντες οὐ τὸν
αὐτὸν ἔζησαν βίον, ἀλλ' οἱ μὲν λόγου χάριν ἐβασίλευσαν
89 οἱ δὲ ἐν πέδαις κατεγήρασαν. οὐθεὶς γοῦν Ἀλεξάνδρῳ τῷ
Μακεδόνι γέγονεν ἴσος, πολλῶν κατὰ τὴν οἰκουμένην
15 συναποτεχθέντων αὐτῷ, οὐδὲ Πλάτωνι τῷ φιλοσόφῳ. 15
ὥστε εἰ τὸν ἐν πλάτει τῆς γενέσεως χρόνον ὁ Χαλδαῖος
ἐπισκέπτεται, οὐ δυνήσεται παγίως λέγειν ὅτι ὁ κατὰ
τὸν αὐτὸν χρόνον γεννηθεὶς εὐτυχήσει, πολλοὶ γὰρ κατὰ
τὸν αὐτὸν χρόνον τούτῳ γεννηθέντες ἐδυστύχησαν, καὶ
20 ἀνάπαλιν ὅτι ὅδε τις ἀπορήσει· οὐκ ὀλίγοι γὰρ τῶν 20
τὸ αὐτὸ διάθεμα ἐσχηκότων εὐπορώτατοι κατεγήρα-
90 σαν. καὶ μὴν οὐδὲ μετρίως ἐλέγχειν φαίνεται τοὺς Χαλ-
δαίους καὶ ὁ ἀναστρέφων πρὸς τὴν εἰρημένην ἐπιχεί-
ρησιν λόγος. εἰ γὰρ οἱ τὸ αὐτὸ διάθεμα τῆς γενέσεως
25 ἔχοντες τοῖς αὐτοῖς ἀποτελέσμασιν ἐν τῷ βίῳ περιπί- 25
πτουσι, πάντως καὶ οἱ διαφόρους ἔχοντες γενέσεις διά-
91 φοροι γίνονται. ὅπερ ἐστὶ ψεῦδος· ὁρῶμεν γὰρ πολλοὺς
κατά τε ἡλικίας διαφέροντας καὶ κατὰ μορφὰς σωμάτων
καὶ κατὰ ἄλλας παμπληθεῖς παθῶν ἰδιότητας τῷ ὁμοίῳ
30 τέλει περιπεπτωκότας καὶ ἤτοι ἐν πολέμῳ ἀπολομένους ἢ 30

§ **88** = Hippol. el. IV 5, 4 || **89** = ibid. 5 || **88—89** cf. Cic. de div. II 45, 95 || **90—91** = Favorin. ap. Gell. n. A. XIV 1, 27—28

**3** *καὶ* om. S || **4** *τοι* $S_1$ς || **10** *ἀπελεγχθήσονται* ς || **11** *χρόνῳ* om. AB || **15** *τῶ πλάτ.* S || **17** *δυνηθήσεται* ELVrς || **20** *ὅτι* om. $S_1$ς | *ὁ τοιός δέ τις* ς: *ὅς δέ τις* ELVr$S_2$ | *εὐπορήσει* ς || **21** *ἀπορώτατοι* ELVrς || **26** *καὶ* om. S || **29** *ἰδιότητας παθῶν* ς edd.

745 *ἐν συμπτώσεσιν οἰκιῶν ἀπολη|φθέντας ἢ ναυαγίοις κατα-*
*ποντισθέντας· οἷς, εἴπερ ἔζων, πῶς ἂν ὁ Χαλδαῖος προει-*
*ρήκει τὴν ἐσομένην τοῦ βίου καταστροφήν, ἄξιον διαπο-*
*ρεῖν. εἰ γὰρ ὁ μὲν ἐν τῇ ἀκίδι τοῦ τοξότου γεννηθεὶς* 92
5 *κατὰ τὸν μαθηματικὸν σφαγήσεται λόγον, πῶς αἱ τοσαῦ-* 5
*ται μυριάδες τῶν βαρβάρων ἀνταγωνιζόμεναι πρὸς τοὺς*
*Ἕλληνας ἐν Μαραθῶνι ὑφ' ἓν κατεσφάγησαν; οὐ γὰρ δή*
*γε ἐπὶ πάντων ὁ αὐτὸς ἦν ὡροσκόπος. καὶ πάλιν ⟨εἰ⟩*
*ὁ ἐν τῇ κάλπιδι τοῦ ὑδροχόου γεννηθεὶς ναυαγήσει, πῶς*
10 *οἱ ἀπὸ Τροίας ἀνακομιζόμενοι τῶν Ἑλλήνων περὶ τὰ* 10
*κοῖλα τῆς Εὐβοίας συγκατεποντίσθησαν; ἀμήχανον γὰρ* 93
*πάντας μακρῷ διαφέροντας ἀλλήλων ἐν τῇ κάλπιδι τοῦ*
*ὑδροχόου γεγεννῆσθαι. καὶ μὴν οὐδὲ ἔνεστι λέγειν ὅτι δι'*
*ἕνα πολλάκις, ᾧ εἵμαρται κατὰ πέλαγος φθαρῆναι, πάν-*
15 *τες οἱ ἐν τῇ νηὶ συναπόλλυνται· διὰ τί γὰρ ἡ τούτου εἱ-* 15
*μαρμένη τὰς πάντων νικᾷ, ἀλλ' οὐχὶ διὰ τὸν ἕνα ᾧ*
*εἵμαρται ἐπὶ γῆς θανεῖν πάντες περισῴζονται; ἄλλος δέ* 94
*τις ἀπορήσει καὶ περὶ τῶν ἀλόγων ζῴων. εἰ γὰρ παρὰ*
*τοὺς συσχηματισμοὺς τῶν ἀστέρων τὰ κατὰ τὸν βίον*
20 *ἀποτελέσματα πέφυκεν ἐκβαίνειν, ἐχρῆν ἐν τῷ αὐτῷ* 20
*τούτῳ τοῦ ζῳδίου μορίῳ κάνθωνος ἅμα καὶ ἀνθρώπου*
*γεννηθέντων τὴν αὐτὴν ἐν ἀμφοτέροις ἀκολουθεῖν τῶν*
*βίων ἔκβασιν, καὶ μὴ τὸν μὲν ἄνθρωπον πολλάκις ἐπι-*
*φανῶς πολιτευσάμενον περισπούδαστον εἶναι τοῖς δήμοις,*
25 *τὸν δὲ κάνθωνα διὰ παντὸς ἀχθοφορεῖν ἢ εἰς μύλωνας* 25
*ἀπάγεσθαι. τοίνυν οὐκ ἔστιν εὔλογον πρὸς τὰς τῶν ἀ-* 95
*στέρων κινήσεις διοικεῖσθαι τὸν βίον· ἢ εἴπερ ἐστὶν εὔ-*
*λογον, ἡμῖν πάντως ἀκατάληπτον.*

§ **92** ~ Hippol. el. IV 5, 7 || **93** ~ ibid. 8–9 || **92–94** cf. Cic. de div. II 47, 97 || **95** *ἄπαις* cf. *παρθ. ζῴδ. στειρῶδες* Ptol. ap. IV 6 p. 192, 3 Boll-Boer. Vett. Val. p. 10, 10 Kroll. Heph. I 1 p. 55, 13 Engelbrecht

**1** *σύμπτωσιν* VC: *συμπτώμασιν* cett.: corr. Bekk. | *ἀποληφθέντας* om. S | *ναυαγίοις* G Nebe: —*ίαις* Bekk. || **4** *μὲν* om. ς || **6** *ἀντιφεριζόμεναι* S || **8** *εἰ* suppl. Bekk. sec. Herv. || **11** *συγκατεποντώθησαν* G: corr. Nebe sec. Hippolyt. || **17** *ἀποθανεῖν* S || **20** *ἐχρῆν* om. VC || **22.23** *τοῦ βίου* E || **23** *καλῶς* pro *ἐπιφανῶς* S || **25** *εἰς κοιλώνας* S || **26** *εὔλογον* om. ς || **27** *διοικήσεις κινεῖσθαι* S

745

Ἀπὸ δὲ τῆς αὐτῆς ὁρμώμενοι δυνάμεως δυσωπήσομεν
αὐτοὺς καὶ ἐν οἷς συνοικειοῦν θέλουσι τοῖς τῶν ζῳδίων 30
τύποις τάς τε μορφὰς καὶ τὰ ἤθη τῶν ἀνθρώπων, οἷον
ὅταν λέγωσιν, ὁ ἐν λέοντι γεννηθεὶς ἀνδρεῖος ἔσται, |
5 ὁ δὲ ἐν παρθένῳ τετανόθριξ χαροπὸς λευκόχρως ἄπαις 746
96 αἰδήμων. ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια γέλωτος μᾶλ-
λον ἢ σπουδῆς ἐστιν ἄξια. πρῶτον μὲν γάρ, εἰ ὅτι ἄλκι-
μον καὶ ἀρρενωπόν ἐστιν ὁ λέων, φασὶ τὸν ἐν αὐτῷ γεν-
νώμενον ἀνδρεῖον τυγχάνειν, πῶς τὸν ταῦρον ἀναλογοῦντα 5
97 τούτῳ θῆλυ νομίζουσι ζῷον; εἶτα μάταιον τὸ οἴεσθαι
11 ζῴδιον κάλλιστον τὸν λέοντα τὸν ἐν οὐρανῷ ἀναλογίαν
ἔχειν τῷ ἐπὶ γῆς· εἰκὸς γὰρ τοὺς παλαιοὺς τὰ τοιαῦτα
τῶν ὀνομάτων τίθεσθαι κατὰ ψιλὴν τὴν τοῦ χαρακτῆρος 10
ἐμφέρειαν, τάχα δὲ οὐδὲ κατ' αὐτὴν ἀλλ' εὐσήμου χάριν
98 διδασκαλίας. τί γὰρ ἔχουσιν ὅμοιον ἄρκτῳ οἱ ἑπτὰ ἀστέ-
16 ρες, ⟨τοσοῦτον⟩ διεστῶτες ἀπ' ἀλλήλων; ἢ δράκοντος
κεφαλῇ οἱ πέντε, ἐφ' ὧν φησιν ὁ Ἄρατος (phaen. 56)

> ἀλλὰ δύο κροτάφους, δύο δ' ὄμματα, εἷς δ' ὑπένερθεν
> ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου. 15

99 οὐ μὴν ἀλλὰ καὶ ὡς ἀνώτερον (§ 88 sq.) ἐλέγομεν, τῶν
21 ἐν τούτῳ τῷ ζῳδίῳ γεννωμένων οὔθ' αἱ μορφαί εἰσιν αἱ
αὐταὶ οὔτε τὰ ἤθη ἐστὶν ὅμοια, ἐκτὸς εἰ μὴ τὰς μοίρας
εἰς ἃς ἕκαστον διαιρεῖται ζῴδιον καὶ τὰ λεπτὰ φήσουσι
τῆς τοιαύτης διαφορᾶς εἶναι ποιητικά. ὃ πάλιν ἐστὶν ἀδύ- 20
25 νατον· ἐδείξαμεν γὰρ τὴν ἐν αὐτοῖς τοῖς χρόνοις τῆς ἀπο-
100 τέξεως καὶ ὡροσκοπήσεως ἀκρίβειαν ἀσύστατον. δυοῖν τε

§ 95 v. p. 159 || 96 = Hippol. el. IV 6, 1 || 97 = ibid. 2 || 98 ibid. 3

3 εἴδη S || 5 λευκόχρους ς || 6 τοιαῦτα pro τούτοις ὅμοια S || 7 ἐστιν om. S | εἰ om. LVr || 10 μάταιον τὸ Nebe sec. Herv. et Hippol. ex notione: μετὰ τοῦτο G || 11 ζῴδ. κάλλ. del. Harder | λέοντα οὐδενὶ ἀναλ. S || 14 οὐ LVr || 15 ὅμοιον ἔχ. ELVr ς: corr. Nebe sec. S et Hippol. || 16 ⟨ ⟩ Harder || 18 ὕπερθεν S || 21 ἐν τῷ αὐτῷ ζ. ci. Bekk. || 22 εἰσὶν ς || 25 τοῖς αὐτοῖς χρ. ELVr ς || 26 ἀσύστ. εἶναι $S_2$ || 26—p. 161, 4 δυοῖν δὲ θάτερον· ἢ γὰρ ὁ ἀὴρ ὑπὸ τοῦ κατ' οὐρανὸν λέοντος τυπούμενος τοιαύτας συμβαίνειν καὶ περὶ τὸν ἀποτικτόμενον ἄνθρωπον τὰς διαθέσεις ποιεῖ, ἢ διὰ τὸ τὸ ὡροσκοποῦν ζώδιον λέοντα καλεῖσθαι, εἶναι δὲ τὸ ζῷον, ᾧ τὸ ὄνομα τιοῦτα (sic!) πρόσεστι, ἀνδρεῖον, καὶ τὸν γεννώμενον τοιοῦτον γίνεσθαι. ἀλλὰ διὰ etc. $S_1$

746 θάτερον· ἢ γὰρ ὅτι λέων λέγεται τὸ ζώδιον, καὶ ὁ
γεννηθεὶς ἀνδρεῖος γίνεται, ἢ ὅτι τραπέντος τοῦ ἀέρος
25 ὑπὸ τοῦ κατ' οὐρανὸν λέοντος τοιαῦται συμβαίνουσι καὶ
περὶ τὸν ἀποτικτόμενον ἄνθρωπον διαθέσεις. ἀλλὰ διὰ
μὲν τὸ λέοντα καλεῖσθαι τὸ ὡροσκοποῦν ζώδιον οὐ πι- 5
θανὸν ἀνδρεῖον γίνεσθαι· τούτῳ γὰρ τῷ λόγῳ ἐχρῆν καὶ
τοὺς τῷ ἐπιγείῳ λέοντι συναποτεχθέντας ἢ συνανατρα-
30 φέντας ἀνδρείους ὑπάρχειν παρόσον λέων λέγεται τὸ ᾧ
747 συνανετράφησαν ζῷον. εἰ | δὲ διὰ τὴν τοῦ ἀέρος τροπήν, 101
τί τοῦτο πρὸς τὴν τοῦ βίου διαφοράν; εἰς μὲν γὰρ τὸ 10
ἰσχυρὸν τῷ σώματι γίνεσθαι τὸ γεννώμενον καὶ θηριῶ-
δες τοῖς ἤθεσιν τάχα συμβάλλεται ἡ ποιὰ τοῦ ἀέρος
5 κρᾶσις, εἰς δὲ τὸ δανείοις κατάχρεων γενέσθαι τὸ γεν-
νώμενον ἢ βασιλεύειν ἢ δεσμευθῆναι ἢ σπανότεκνον ἢ
σπανάδελφον ὑπάρχειν οὐδ' ὁτιοῦν φαίνεται συνεργεῖν ὁ 15
ἀήρ. καὶ πάλιν εἰ ὁ παρθένου ὡροσκοπούσης τετανόθριξ 102
χαροπὸς λευκόχρως, δεήσει μηδένα τῶν Αἰθιόπων παρθένον
10 ἔχειν ὡροσκοποῦσαν, ἐπεὶ δώσουσιν Αἰθίοπα ⟨μηδαμῶς⟩
λευκὸν εἶναι καὶ χαροπὸν καὶ τετανότριχα· ὃ πάντων ἐστὶν
ἀτοπώτατον. καθόλου δέ, ἐπεὶ οὐδ' ἐνδείκνυσθαι λέγου- 103
σιν αὐτοῖς τοὺς ἀστέρας τὰς τῶν ἀνθρωπίνων βίων δια- 21
φοράς, ἀλλ' αὐτοὶ ταύτας συμπαρατετηρηκέναι ταῖς τῶν
15 ἀστέρων σχέσεσι, φημὶ ὅτι εἰ μελλήσει βέβαιος πρόρρησις
γίνεσθαι, δεῖ τὴν αὐτὴν τῶν ἀστέρων σχέσιν μὴ ἅπαξ
συμπαρατετηρηκέναι τῷ ἑνός τινος βίῳ ἀλλὰ καὶ δεύτε- 25
ρον δευτέρου καὶ τρίτον τρίτου, ἵνα ἐκ τοῦ διομαλίζειν
ἐπὶ πάντων τὰς τῶν ἀποτελεσμάτων ἐκβάσεις μάθωμεν,
20 ὅτι τῶν ἀστέρων τοιοῦτον ἀναδεξαμένων τὸν σχηματισ-
μὸν τόδε πάντως ἔσται τὸ ἀποβησόμενον· καὶ ὃν τρόπον 104

7 τοὺς om. L | συνανατραφέντας S: συντραφέντας cett. || 9 συνετράφησαν LVrς | ζώω ELVrς || 11 τοῖς σώμασι ELVrς: τοῦ σώματος S₂ | τὸ γεννώμενον om. ς | θηριώδη S₁ || 14 δεηθῆναι ELVrς: δεθῆναι edd. || 15 σπανώδελφον S₂: σπανώγεων (?) S₁ et S₂ marg. || 18 ⟨ ⟩ Harder: an sufficit, post ἐπεὶ subaudire ἄλλως et 19.20 ὃ-ἀτοπ. ad album Aethiopem referre? || 20 ἐπεὶ — 21 διαφοράς: ἐπεὶ οὐδὲν δείκνυσθαι λέγομεν ἐκ τῶν οὐρανίων τὰς τοῦ ἀνθρωπίνου βίου διαφορὰς S || 22 αὐτοὶ S: αὐτὸς cett. || 22.23 παρὰ τὰς τῶν ἀστέρων σχέσεις, φασι, εἰ S || 25 τινὸς ἑνὸς S₁ || 29 ὃν om. LVr

747

*ἐν τῇ ἰατρικῇ ἐτηρήσαμεν ὅτι ἡ τῆς καρδίας περίψυξίς ἐστι θάνατος, οὐ τὴν Δίωνος μόνον τελευτὴν αὐτῇ συμπαρατηρήσαντες ἀλλὰ καὶ Θέωνος καὶ Σωκράτους καὶ ἄλλων πολλῶν, οὕτω καὶ ἐν μαθηματικῇ εἰ πιστόν ἐστιν* 25
5 *ὅτι ὅδε ὁ σχηματισμὸς τῶν ἀστέρων τοιούτου βίου μηνυτικὸς καθέστηκεν, πάντως οὐχ ἅπαξ ἐφ' ἑνὸς ἀλλὰ*
105 *πολλάκις ἂν ἐπὶ πολλῶν παρετηρήθη. ἐπεὶ οὖν ὁ αὐτὸς τῶν ἀστέρων σχηματισμὸς διὰ μακρῶν, ὥς φασι, χρόνων θεωρεῖται, ἀποκαταστάσεως γινομένης τοῦ μεγάλου ἐνιαυτοῦ* 30
10 *δι' ἐννεακισχιλίων ἐνακοσίων καὶ ἑβδομήκοντα* | *καὶ* 748 *ἑπτὰ ἐτῶν, οὐ φθάσει ἀνθρωπίνη τήρησις τοῖς τοσούτοις αἰῶσι συνδραμεῖν ἐπὶ μιᾶς γενέσεως, καὶ ταῦτα οὐχ ἅπαξ ἀλλὰ πολλάκις, ἤτοι τοῦ κόσμου φθορᾶς, εἰρήκασιν ὥς τινες, μεσολαβούσης αὐτήν, ἢ πάντως γε τῆς κατὰ*
15 *μέρος μεταβολῆς ἐξαφανιζούσης τὸ συνεχὲς τῆς ἱστορικῆς παραδόσεως.* 5

106 *Τοσαῦτα μὲν οὖν ἐστι καὶ τὰ πραγματικῶς δυνάμενα λέγεσθαι πρὸς τοὺς Χαλδαίους. μεθ' ἃ πάλιν ἀπ' ἄλλης ἀρχῆς σύντομον οὖσαν καὶ τὴν πρὸς τοὺς μουσικοὺς ἀν-*
20 *τίρρησιν ἀποδώσομεν.* 10

§ **105** = Hippol. el. IV 7, 2—3 cf. Cic. de div. II 46, 97. Ptol. ap. I 2 p. 8, 6sqq. Boll-Boer. Favorin. ap. Gell. n. A. XIV 1, 14sqq.

**1.2** *περίψ. ἔ. θάνατος* S: *τρῶσις αἴτιόν ἐ. θανάτου* cett. We. || **2.3** *παρατηρ.* S || **3** *καὶ Θ. — Σωκρ.* om. S || **5** *ὁ* om. ELVr || **7** *ἂν* $S_1$: om. cett. || **8** *σχηματισμὸς* S Hippol.: *συσχ.* cett. || **9** *τοῦ μεγ. ἐν.* ut gloss. susp. Harder || **10** *ἐννεαχιλιάδων* $S_1$: *δι' 7777 ἐτῶν* Hippol. || **12** *ἀλλ' οὐδὲ ὡς οὐχ* S: *καὶ ταῦτα οὐχ* cett. || **13.14** *ὡς εἰρήκασιν* $S_1$: *ὡς* om. $S_2$ || **13** ⟨*τῆς*⟩ *τοῦ* ci Bekk. || **14** *αὐτῆς* S || **17** *μὲν* om. S || **18** *κατὰ χαλδαιων* $S_1$: *περὶ χαλδαϊκῆς* $S_2$ || **19** *ἀντίρρ.* S: *ζήτησιν* cett. || **20** *σέξτου ἐμπειρικοῦ πρὸς ἀστρολόγους ἤτοι. μαθηματικούς — πρὸς μουσικούς* tit. LVrBVCR: 'explicit' deest in EA

## ΠΡΟΣ ΜΟΥΣΙΚΟΥΣ

Ἡ μουσικὴ λέγεται τριχῶς, καθ' ἕνα μὲν τρόπον ἐπιστήμη τις περὶ μελῳδίας καὶ φθόγγους καὶ ῥυθμοποιίας καὶ τὰ παραπλήσια καταγιγνομένη πράγματα, καθὸ καὶ 15 Ἀριστόξενον τὸν Σπινθάρου λέγομεν εἶναι μουσικόν, καθ' ἕτερον δὲ ἡ περὶ ὀργανικὴν ἐμπειρία, ὡς ὅταν τοὺς μὲν 5 αὐλοῖς καὶ ψαλτηρίοις χρωμένους μουσικοὺς ὀνομάζωμεν, τὰς δὲ ψαλτρίας μουσικάς. ἀλλὰ κυρίως κατ' αὐτὰ τὰ σημαινόμενα καὶ παρὰ πολλοῖς λέγεται μουσική· κατα- 2 20 χρηστικώτερον δὲ ἐνίοτε προσαγορεύειν εἰώθαμεν τῷ αὐτῷ ὀνόματι καὶ τὴν ἔν τινι πράγματι κατόρθωσιν. οὕτω 10 γοῦν μεμουσωμένον τι ἔργον φαμέν, κἂν ζωγραφίας μέρος ὑπάρχῃ, καὶ μεμουσῶσθαι τὸν ἐν τούτῳ κατορθώσαντα ζωγράφον. ἀλλὰ δὴ κατὰ τοσούτους τρόπους νοουμένης 3 25 τῆς μουσικῆς, πρόκειται νῦν ποιεῖσθαι τὴν ἀντίρρησιν οὐ μὰ Δία πρὸς ἄλλην τινὰ ἢ πρὸς τὴν κατὰ τὸ πρῶτον 15 νοουμένην σημαινόμενον αὕτη γὰρ καὶ ἐντελεστάτη παρὰ τὰς ἄλλας μουσικὰς δοκεῖ καθεστηκέναι. τῆς δὲ ἀντιρ- 4 749 ρήσεως, καθάπερ καὶ ἐπὶ γραμματικῆς, διττόν ἐστι | τὸ εἶδος. οἱ μὲν οὖν δογματικώτερον ἐπεχείρησαν διδάσκειν ὅτι οὐκ ἀναγκαῖόν ἐστι μάθημα πρὸς εὐδαιμονίαν μου- 20 σική, ἀλλὰ βλαπτικὸν μᾶλλον, καὶ τοῦτο δείκνυσθαι ἔκ τε τοῦ διαβάλλεσθαι τὰ πρὸς τῶν μουσικῶν λεγόμενα 5 καὶ ἐκ τοῦ τοὺς προηγουμένους λόγους ἀνασκευῆς ἀξιοῦσθαι· οἱ δὲ ἀπορητικώτερον πάσης ἀποστάντες τῆς τοι- 5

§ 2 de voce *μεμουσῶσθαι* cf. Philodem. de mus. p. 77, 25 K. || 4 *οἱ μὲν* cf. Philod. de mus. p. 109, 29 K.

5 *ἐμπειρίαν* G: corr. Bekk. dub. || 7 *ψαλτηρίας* LVr | *κατὰ ταῦτα τὰ* ci. Bekk. Bury || 8 *παρὰ* ⟨*τοῖς*⟩*π.* dub. Bekk. || 18 *διπλὸν* E: *διπὸν* LVr: *εἰπεῖν* ς || 19 *γραμματικώτερον*, suprascr. *δογμα-* V || 22 *τὸν μουσικὸν* VCHerv.

749

αὐτῆς ἀντιρρήσεως ἐν τῷ σαλεύειν τὰς ἀρχικὰς ὑποθέσεις τῶν μουσικῶν ᾠήθησαν καὶ τὴν ὅλην ἀνῃρῆσθαι 6 μουσικήν. ὅθεν καὶ ἡμεῖς ὑπὲρ τοῦ μὴ δοκεῖν τι τῆς διδασκαλίας χρεωκοπεῖν, τὸν ἑκατέρου δόγματος ἢ ἀπορήματος χαρακτῆρα κεφαλαιωδέστερον ἐφοδεύσομεν (§§ 19—37 et 38—67), μήτε ἐν τοῖς παρέλκουσιν ὑπερεκπίπτοντες εἰς μακρὰς διεξόδους μήτε ἐν τοῖς ἀναγκαιοτέροις ὑστεροῦντες πρὸς τὴν τῶν ἐπειγόντων ἔκθεσιν, ἀλλὰ μέσην καὶ μεμετρημένην κατὰ τὸ δυνατὸν ποιούμενοι τὴν διδασκαλίαν.

7 Τάξει δὲ ἀρχέτω πρῶτον τὰ ὑπὲρ μουσικῆς παρὰ τοῖς πολλοῖς εἰωθότα θρυλεῖσθαι. εἴπερ τοίνυν, φασί, φιλοσοφίαν ἀποδεχόμεθα σωφρονίζουσαν τὸν ἀνθρώπινον βίον καὶ τὰ ψυχικὰ πάθη καταστέλλουσαν, πολλῷ μᾶλλον ἀποδεχόμεθα τὴν μουσικήν, ὅτι οὐ βιαστικώτερον ἐπιτάττουσα ἡμῖν ἀλλὰ μετὰ θελγούσης τινὸς πειθοῦς τῶν αὐτῶν ἀποτελεσμάτων περιγίνεται ὧνπερ καὶ ἡ φιλοσοφία. 8 ὁ γοῦν Πυθαγόρας μειράκια ὑπὸ μέθης ἐκβεβακχευμένα ποτὲ θεασάμενος ὡς μηδὲν τῶν μεμηνότων διαφέρειν, παρήνεσε τῷ συνεπικωμάζοντι τούτοις αὐλητῇ τὸ σπονδεῖον αὐτοῖς ἐπαυλῆσαι μέλος· τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος οὕτως αἰφνίδιον μεταβαλεῖν σωφρονισθέντας ὡς 9 εἰ καὶ τὴν ἀρχὴν ἔνηφον. οἵ τε τῆς Ἑλλάδος ἡγούμενοι καὶ ἐπ' ἀνδρείᾳ διαβόητοι Σπαρτιᾶται μουσικῆς ἀεί ποτε στρατηγούσης αὐτῶν ἐπολέμουν. καὶ οἱ ταῖς Σόλωνος χρώμενοι παραινέσεσι πρὸς αὐλὸν καὶ λύραν παρε|τάσ- 750 10 σοντο, ἔνρυθμον ποιούμενοι τὴν ἐνόπλιον κίνησιν. καὶ μὴν ὥσπερ σωφρονίζει μὲν τοὺς ἄφρονας ἡ μουσική, εἰς

§ 7 cf. Philodem. de mus. p. 92, 37 et 19, 32, 10 K. || 8 cf. Plut. de mus. 1146 f et Philod. de mus. p. 58 K. || 9 *Σπαρτιᾶται* cf. Philod. de mus. p. 27, 22 K. et Plut. de mus. 1140 b—d. *Σόλωνος* cf. Wilamowitz Progr. Gött. 1884, 13. *ἐνόπλιον* cf. Wilam. Verskunst 376 sqq. schol. in Aristophan. 112 b 30 Dübner.

4 ἀπορήμ. Theiler: πράγμ. G || 11. 12 εἰωθότα π. τ. πολλ. ς || 15 ἀποδεξόμεθα dub. Bekk., Bury | ὅτι om. ς || 16 θελούσης VC || 19 μηδὲ LVr || 27 εὔρυθμον ς et marg. cod. Gen.

750
ἀνδρείαν δὲ προτρέπει τοὺς δειλοτέρους, οὕτω καὶ παρη-
5 γορεῖ τοὺς ὑπ' ὀργῆς ἐκκαιομένους. ὁρῶμεν γοῦν ὡς καὶ
ὁ παρὰ τῷ ποιητῇ μηνίων Ἀχιλλεὺς καταλαμβάνεται ὑπὸ
τῶν ἐξαποσταλέντων πρεσβευτῶν (*I* 186)

φρένα τερπόμενος φόρμιγγι λιγείῃ 5
καλῇ δαιδαλέῃ· ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν.
τὴν ἕλετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας.
10 τῇ ὅ γε θυμὸν ἔτερπεν,

ὡς ἂν σαφῶς γινώσκων τὴν μουσικὴν πραγματείαν μάλι-
στα δυναμένην περιγίνεσθαι τῆς περὶ αὐτὸν διαθέσεως. 10
καὶ μὴν δι' ἔθους ἦν καὶ τοῖς ἄλλοις ἥρωσιν, εἴ ποτε 11
ἀποδημοῖεν καὶ μακρὸν πλοῦν στέλλοιντο, ὡς πιστοτάτους
15 φύλακας καὶ σωφρονιστῆρας τῶν γυναικῶν αὐτῶν ἀπο-
λείπειν τοὺς μουσικούς. Κλυταιμνήστρᾳ γέ τοι παρῆν
ἀοιδός, ᾧ πολλὰ ἐπέτελλεν Ἀγαμέμνων περὶ τῆς κατὰ 15
ταύτην σωφροσύνης. ἀλλ' ὁ Αἴγισθος πανοῦργος ὢν αὐ- 12
τίκα τὸν ἀοιδὸν τοῦτον (γ 270)

20 ἄγων εἰς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κῦρμα γενέσθαι·

εἶθ' οὕτως ἀφύλακτον λαβὼν τὴν Κλυταιμνήστραν διέ- 20
φθειρεν, προτρεψάμενος αὐτὴν ἐπιθέσθαι τῇ ἀρχῇ τοῦ
Ἀγαμέμνονος. οἵ τε μέγα δυνηθέντες ἐν φιλοσοφίᾳ, κα- 13
25 θάπερ καὶ Πλάτων, τὸν σοφὸν ὅμοιόν φασιν εἶναι τῷ
μουσικῷ, τὴν ψυχὴν ἡρμοσμένην ἔχοντα. καθὸ καὶ Σω-
κράτης καίπερ βαθυγήρως ἤδη γεγονὼς οὐκ ᾐδεῖτο πρὸς 25
Λάμπωνα τὸν κιθαριστὴν φοιτῶν, καὶ πρὸς τὸν ἐπὶ τού-
τῳ ὀνειδίσαντα λέγειν ὅτι κρεῖττόν ἐστιν ὀψιμαθῆ μᾶλλον
751 | ἢ ἀμαθῆ διαβάλλεσθαι. οὐ χρὴ μέντοι, φασίν, 14
ἀπὸ τῆς νῦν ἐπιτρίπτου καὶ κατεαγυίας μουσικῆς τὴν πα-

§ **10** *Ἀχιλλεύς* cf. Plut. de mus. 1146b—c || **11** *Κλυταιμνήστρᾳ* cf. Philod. de mus. p. 20, 25 K. || **13** *Πλάτων* e. g. Rep. 410e et Tim. 43a sqq. *Σωκράτης ... ὀψιμαθῆ* cf. Plat. Menex. 236a, Euthyd. 272bc, Philod. de mus. p. 94, 35 K.

**2** *ὡς* om. C, suprscr. A || **3** *μηνίων* LVr: *μηνιῶν* ς || **7** *τὴν αἴας ἕλετ'* E: *τὴν αἱρεσινλετ'* LVr || **12** *ἀποδημῷεν* G: corr. Bekk. || **27** *ἔλεγεν* Bekk. Theiler: malim *φοιτῶν* [*καὶ*]

751

λαιὰν διασύρειν, ὅτε καὶ Ἀθηναῖοι πολλὴν πρόνοιαν σωφροσύνης ποιούμενοι καὶ τὴν σεμνότητα τῆς γε μουσικῆς κατειληφότες ὡς ἀναγκαιότατον αὐτὴν μάθημα τοῖς ἐκ- 5
15 γόνοις παρεδίδοσαν. καὶ τούτου μάρτυς ὁ τῆς ἀρχαίας
5 κωμῳδίας ποιητής, λέγων (Teleclid. f. 1 Kock et Aristoph. nub. 963)

λέξω τοίνυν βίον ἐξ ἀρχῆς ὃν ἐγὼ θνητοῖσι παρεῖχον.
πρότερον γὰρ ἔδει παιδὸς φωνὴν γρύσαντος μηδέν' ἀκοῦσαι,
10 εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ. 10

ὅθεν εἰ καὶ κεκλασμένοις τισὶ μέλεσι νῦν καὶ γυναικώδεσι ῥυθμοῖς θηλύνει τὸν νοῦν ἡ μουσική, οὐδὲν τοῦτο πρὸς
16 τὴν ἀρχαίαν καὶ ἔπανδρον μουσικήν. εἴπερ τε ἡ ποιητικὴ βιωφελής ἐστι, ταύτην δὲ φαίνεται κοσμεῖν ἡ
15 μουσικὴ μερίζουσα καὶ ἐπῳδὸν παρέχουσα, χρειώδης γε- 15 νήσεται ἡ μουσική. ἀμέλει γέ τοι καὶ οἱ ποιηταὶ μελοποιοὶ λέγονται, καὶ τὰ Ὁμήρου ἔπη τὸ πάλαι πρὸς λύραν
17 ᾔδετο. ὡσαύτως δὲ καὶ τὰ παρὰ τοῖς τραγικοῖς μέλη καὶ στάσιμα, φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ
20 οὕτω λεγόμενα· (Eurip. fr. 839 Nauck) 20

γαῖα μεγίστη καὶ Διὸς αἰθήρ,
ὁ μὲν ἀνθρώπων καὶ θεῶν γενέτωρ,
ἡ δ' ὑγροβόλους σταγόνας νοτίας
παραδεξαμένη τίκτει θνατούς,
25 τίκτει δὲ βορὰν φῦλά τε θηρῶν, 25
ὅθεν οὐκ ἀδίκως
μήτηρ πάντων νενόμισται.

18 καθόλου γὰρ οὐ μόνον χαιρόντων ἐστὶν ἄκουσμα, ἀλλ' ἐν ὕμνοις καὶ εὐχαῖς καὶ θεῶν θυσίαις ἡ μουσική· διὰ δὲ 30
30 τοῦτο καὶ ἐπὶ τὸν τῶν ἀγαθῶν ζῆλον τὴν διάνοιαν | προ- 752

§ 15 κεκλασμ. μέλ. cf. Plut. de mus. 1136b, Philod. de mus. p. 80, 31 et 16, 1 K.

2 τε EL ‖ 7 ὃν ἐξ ἀρχῆς G: corr. Bekk. sec. Athenaeum ‖ 10 εἰς EL ‖ 15 μελίζουσα edd. ‖ 16 καὶ om. LVr ‖ 25 δὲ om. ς ‖ 29 εὐωχίαις G: ci. Wilam., sed cf. Herodot. A 31

752
τρέπεται. ἀλλὰ καὶ λυπουμένων παρηγόρημα· ὅθεν καὶ
τοῖς πενθοῦσιν αὐλοῖς μελῳδοῦσιν οἱ τὴν λύπην αὐτῶν
ἐπικουφίζοντες.

Τοιαῦτα μὲν ὑπὲρ μουσικῆς· λέγεται δὲ πρὸς ταῦτα 19
5 τὸ μὲν πρῶτον ὅτι οὐκ ἔστιν ἐκ προχείρου διδόμενον τὸ 5
φύσει τῶν μελῶν τὰ μὲν εἶναι διεγερτικὰ τῆς ψυχῆς τὰ
δὲ κατασταλτικά. παρὰ γὰρ τὴν ἡμετέραν δόξαν τὸ τοι-
οῦτο γίνεται. ὥσπερ γὰρ ὁ τῆς βροντῆς κτύπος, καθά
φασιν Ἐπικουρείων παῖδες, οὐ θεοῦ τινος ἐπιφάνειαν ση-
10 μαίνει ἀλλὰ τοῖς ἰδιώταις καὶ δεισιδαίμοσι τοιοῦτος εἶναι 10
δοξάζεται, ἐπεὶ καὶ ἄλλων σωμάτων ἐπ' ἴσης ἀλλήλοις 20
προσκρουσάντων ὅμοιος ἀποτελεῖται κτύπος, ὥσπερ καὶ
μύλου περιαγομένου ἢ χειρῶν συμπαταγουσῶν, τὸν αὐτὸν
τρόπον καὶ τῶν κατὰ μουσικὴν μελῶν οὐ φύσει τὰ μὲν
15 τοιά ἐστι τὰ δὲ τοῖα, ἀλλ' ὑφ' ἡμῶν προσδοξάζεται. τὸ 15
αὐτὸ γοῦν μέλος τῶν μὲν ἵππων διεγερτικόν ἐστι, τῶν
δὲ ἀνθρώπων ἐν θεάτροις ἀκουόντων οὐδαμῶς. καὶ τῶν
ἵππων δὲ τάχα οὐ διεγερτικόν ἐστιν ἀλλὰ ταρακτικόν.
εἶτα κἂν τοιαῦτα ᾖ τὰ τῆς μουσικῆς μέλη, οὐ διὰ τοῦτο 21
20 καὶ ἡ μουσικὴ βιωφελὴς καθέστηκεν. οὐ γὰρ ὅτι δύναμιν 20
ἔχει σωφρονιστικήν, καταστέλλει τὴν διάνοιαν, ἀλλὰ ᾗ
περισπαστικήν· παρὸ καὶ ἡσυχασθέντων πως τῶν τοιού-
των μελῶν πάλιν ὁ νοῦς, ὡς ἂν μὴ θεραπευθεὶς ὑπ' αὐ-
τῶν, ἐπὶ τὴν ἀρχῆθεν ἀνακάμπτει διάνοιαν. ὅνπερ οὖν 22
25 τρόπον ὁ ὕπνος ἢ ὁ οἶνος οὐ λύει τὴν λύπην ἀλλ' ὑπερ- 25
τίθεται, κάρον ἐμποιῶν καὶ ἔκλυσιν καὶ λήθην, οὕτω τὸ
ποιὸν μέλος οὐ καταστέλλει λυπουμένην ψυχὴν ἢ περὶ
ὀργὴν σεσοβημένην τὴν διάνοιαν, ἀλλ' εἴπερ, περισπᾷ. ὅ 23
τε Πυθαγόρας τὸ μὲν πρῶτον μάταιος ἦν, τοὺς μεθύον-
30 τας ἀκαίρως σωφρονίζειν βουλόμενος ἀλλὰ μὴ ἐκκλίνων· 30

§ 19 φύσει cf. Philod. de mus. p. 71, 30 et p. 12 K. | βροντῆς cf. Diog. L. X 100. 103 || 21 περισπαστ. cf. Philod. de mus. p. 95, 10 K.

2 αὐλοὶ G: αὐλῷ Bury: conservat. sed οἱ del. Wilamowitz: corr. Heintz || 8 γὰρ om. VC || 13 μύλωνος ς | συμπλαταγουσῶν ELVr et marg. cod. Gen. || 21 ἀλλὰ ᾗ G: ἀλλ' ὅτι Bury: corr. Shorey || 28 σεσοφισμένην ς || 29. 30 ἀκαίρους τοὺς μεθύοντας ς

εἶτα καὶ τούτῳ τῷ τρόπῳ ἐπανορθούμενος αὐτοὺς ὁμολογεῖ πλεῖόν τι δύνασθαι τῶν φιλοσόφων πρὸς ἐπανόρθω-
24 |σιν ἠθῶν τοὺς αὐλητάς. τό τε τοὺς Σπαρτιάτας πρὸς 753
αὐλὸν καὶ λύραν πολεμεῖν τοῦ μικρῷ πρότερον εἰρημένου
5 τεκμήριόν ἐστιν, ἀλλ οὐχὶ τοῦ βιωφελῆ τυγχάνειν τὴν μουσικήν. καθάπερ δ' οἱ ἀχθοφοροῦντες ἢ ἐρέσσοντες ἢ
ἄλλο τι τῶν ἐπιπόνων δρῶντες ἔργων κελεύουσιν εἰς τὸ 5
ἀνθέλκειν τὸν νοῦν ἀπὸ τῆς κατὰ τὸ ἔργον βασάνου, οὕτω
καὶ ⟨οἱ⟩ αὐλοῖς ἢ σάλπιγξιν ἐν πολέμοις χρώμενοι οὐ διὰ
10 τὸ ἔχειν τι τῆς διανοίας ἐπεγερτικὸν τὸ μέλος καὶ ἀνδρικοῦ λήματος αἴτιον ὑπάρχειν τοῦτο ἐμηχανήσαντο, ἀλλ'
ἀπὸ τῆς ἀγωνίας καὶ ταραχῆς ἀνθέλκειν ἑαυτοὺς σπου- 10
δάσαντες, εἴγε καὶ στρόμβοις τινὲς τῶν βαρβάρων βουκινίζοντες καὶ τυμπάνοις κτυποῦντες πολεμοῦσιν· ἀλλ' οὐδὲν
25 τούτων ἐπ' ἀνδρείαν προτρέπεται. τὰ δὲ αὐτὰ λεκτέον καὶ
16 ἐπὶ τοῦ μηνίοντος Ἀχιλλέως· καίτοι ἐρωτικοῦ ὄντος καὶ
26 ἀκρατοῦς οὐ παράδοξον τὴν μουσικὴν σπουδάζεσθαι. νὴ 15
Δί', ἀλλὰ καὶ οἱ ἥρωες τὰς ἑαυτῶν γυναῖκας ᾠδοῖς τισὶν
ὡς σώφροσι φύλαξι παρακατετίθεντο, καθάπερ ὁ Ἀγα-
20 μέμνων τὴν Κλυταιμνήστραν. ταῦτα δὲ ἤδη μυθολογούντων ἐστὶν ἀνδρῶν, εἶτα καὶ παρὰ πόδας αὑτοὺς διελεγχόντων· πῶς γάρ, εἴπερ μουσικὴ περὶ τῆς τῶν παθῶν 20
ἐπανορθώσεως ἐπιστεύετο, τὸν μὲν Ἀγαμέμνονα ἡ Κλυταιμνήστρα ἐπὶ τῆς ἰδίας ἑστίας κατέκτανεν ὥσπερ βοῦν
25 ἐπὶ φάτνῃ (Hom. λ 411), εἰς δὲ τοὺς Ὀδυσσέως οἴκους
ἡ Πηνελόπη ὄχλον ἄσωτον ἐπιδέχεται μειρακίων, ἀεὶ δὲ
τὰς ἐπιθυμίας αὐτῶν ἐλπιδοκοποῦσα καὶ παραύξουσα 25
μοχθηρότερον καὶ χαλεπώτερον τῆς ἐπὶ Ἴλιον στρατείας
27 τὸν ἐν Ἰθάκῃ πόλεμον ἤγειρε τῷ γήμαντι; καὶ μὴν ⟨οὐκ⟩
30 εἰ [οὔτε] οἱ περὶ τὸν Πλάτωνα μουσικὴν ἀπεδέξαντο, ῥητέον [οὐ] πρὸς εὐδαιμονίαν αὐτὴν συντείνειν, ἐπεὶ καὶ ἀλ-

§ **24** cf. Philod. de mus. p. 71 col. 8 K.

**4** *μικροῦ* AB || **9** ⟨ ⟩ Bekk. || **11** *λήμματος* G: corr. Gen. in marg. || **13** *βουκινίζουσι* G: ci. Bekk. || **15** *ἀνδρίαν* ς || **16** *καὶ ἐρωτ.* AB || **27** *τῆς* AB || **29.30.31** ⟨ ⟩ [ ] Heintz: *οὐδ' εἰ*, omisso 31 *οὐ*, Usener || **30** *τὸν* om. ς

753
30 λοι μὴ λειπόμενοι τῆς τούτων ἀξιοπιστίας, καθάπερ οἱ
754 περὶ τὸν Ἐπίκουρον, ἠρνήσαντο ταύ|την τὴν ἀντιποίησιν, λέγοντες τοὐναντίον αὐτὴν ἀσύμφορον εἶναι καὶ (Eurip. fr. 184 Nauck)

ἀργήν, φίλοινον, χρημάτων ἀτημελῆ. 5

εὐήθεις δέ εἰσι καὶ οἱ τὴν ἀπὸ ποιητικῆς χρείαν συμπλέ- 28
5 κοντες αὐτῇ πρὸς εὐχρηστίαν, ἐπείπερ δύναται μέν τις, ὡς καὶ ἐν τῷ πρὸς τοὺς γραμματικοὺς (M I 277 sq. 298) ἐλέγομεν, ἀνωφελῆ διδάσκειν τὴν ποιητικήν, οὐδὲν δὲ ἔλαττον κἀκεῖνο δεικνύναι ὅτι ἡ μὲν μουσικὴ περὶ μέλος 10 καταγινομένη μόνον τέρπειν πέφυκεν, ἡ δὲ ποιητικὴ καὶ
10 περὶ διάνοιαν καταγινομένη δύναται συνωφελεῖν τε καὶ σωφρονίζειν.

Ἀλλ' ὁ μὲν πρὸς τὰ ἐγκεχειρημένα λόγος ἐστὶ τοιοῦτος· 29 προηγουμένως δὲ λέγεται [καὶ] κατὰ μουσικῆς ὡς εἴπερ 15 ἐστὶ χρειώδης, ἤτοι κατὰ τοῦτο λέγεται χρειοῦν παρόσον
15 ⟨ὁ⟩ μουσικευσάμενος πλεῖον παρὰ τοὺς ἰδιώτας τέρπεται πρὸς μουσικῶν ἀκροαμάτων, ἢ παρόσον οὐκ ἔστιν ἀγαθοὺς γενέσθαι μὴ προπαιδευθέντας ὑπ' αὐτῶν, ἢ τῷ τὰ 30 αὐτὰ στοιχεῖα τυγχάνειν τῆς μουσικῆς καὶ ⟨τῆς⟩ τῶν κατὰ 20 φιλοσοφίαν πραγμάτων εἰδήσεως, ὁποῖόν τι καὶ περὶ γραμματικῆς ἀνώτερον (M I 300?) ἐλέγομεν· ἢ τῷ κατὰ ἁρμο-
20 νίαν διοικεῖσθαι τὸν κόσμον, καθὼς φάσκουσι Πυθαγορικῶν παῖδες, δέεσθαί τε ἡμᾶς τῶν μουσικῶν θεωρημάτων πρὸς τὴν τῶν ὅλων εἴδησιν, ἢ τῷ τὰ ποιὰ μέλη 25 ἠθοποιεῖν τὴν ψυχήν. οὔτε δὲ τῷ τοὺς μουσικοὺς πλέον 31 τέρπεσθαι παρὰ τοὺς ἰδιώτας ἀπὸ τῶν ἀκροαμάτων λέ-
25 γοιτ' ἂν χρειοῦν ἡ μουσική. πρῶτον μὲν γὰρ οὐκ ἀναγκαία ἰδιώταις ἡ τέρψις καθάπερ αἱ ἐπὶ λιμῷ ἢ δίψει ἢ 29 κρύει γινόμεναι ὑπὸ πόματος ἢ ἀλέας· εἶτα κἂν τῶν 32

§ **27** cf. Plut. mor. 1095c || **30** *κατὰ ἁρμονίαν* cf. Plut. de mus. 1147

**3** *λέγομεν* G: corr. Bekk. sec. Herv. | *ἀσύμφωνον* ς || **5** *ἀργὸν* Nauck || **14** *ἐγκεχειρισμένα* E || **15** [ ] Bekk. || **16** *ἤτοι* ci. Bekk.: *καὶ* G: om. Herv. || **17** ⟨ ⟩ Bekk. || **18** *ἀγαθὸς* ς || **20** ⟨ ⟩ dub. Bekk. probat Harder || **29** *αἱ* Bekk.: *καὶ* G || **30** *γινόμενον* E | *ὑπὸ* ⟨*βρώματος ἢ*⟩ *πόματος* Bury sec. Herv.

754
ἀναγκαίων ὑπάρχωσι, δυνάμεθα χωρὶς μουσικῆς ἐμπει-
ρίας αὐτῶν ἀπολαύειν. νήπια γοῦν ἐμμελοῦς μινυρίσματος
κατακούοντα κοιμίζεται, καὶ τὰ ἄλογα τῶν ζῴων ὑπὸ 30
αὐλοῦ καὶ σύριγγος κη|λεῖται, οἵ τε δελφῖνες, ὡς λόγος, 755
5 αὐλῶν μελῳδίαις τερπόμενοι προσνήχονται τοῖς ἐρεσσο-
μένοις σκάφεσιν· ὧν οὐδὲ ὁπότερον ἔοικε μουσικῆς ἔχειν
33 ἐμπειρίαν ἢ ἔννοιαν. καὶ διὰ τοῦτο μή ποτε, ὃν τρόπον
χωρὶς ὀψαρτυτικῆς καὶ οἰνογευστικῆς ἡδόμεθα ὄψου ἢ 5
οἴνου γευσάμενοι, ὧδε καὶ χωρὶς μουσικῆς ἡσθείημεν ἂν
10 τερπνοῦ μέλους ἀκούσαντες, τοῦ μὲν ὅτι τεχνικῶς γίνεται
⟨τοῦ τεχνίτου⟩ μᾶλλον παρὰ τὸν ἰδιώτην ἀντιλαμβανομέ-
νου, τοῦ δὲ ἡστικοῦ πάθους μηδὲν πλείω κερδαίνοντος.
34 ὥστε οὐχ αἱρετὸν μουσικὴ παρόσον τοὺς εἰδήμονας αὐτῆς 10
ἐπὶ πλεῖον τέρπεσθαι συμβέβηκεν. καὶ μὴν οὐδὲ τῷ προ-
15 οδοποιεῖν τὴν ψυχὴν εἰς σοφίαν· ἀνάπαλιν γὰρ ἀντικόπτει
καὶ ἀντιβαίνει πρὸς τὸ τῆς ἀρετῆς ἐφίεσθαι, εὐαγώγους
εἰς ἀκολασίαν καὶ λαγνείαν παρασκευάζουσα τοὺς νέους,
35 ἐπείπερ ὁ μουσικευσάμενος (Eurip. fr. 187 Nauck)

μολπαῖσιν ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται· 15
20 ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
φίλοισι τ' οὐθείς, ἀλλ' ἄφαντος οἴχεται,
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

36 κατὰ ταὐτὰ δὲ οὐδὲ ⟨ἐκ τοῦ⟩ ἀπὸ τῶν αὐτῶν στοιχείων
ὁρμᾶσθαι ταύτην τε καὶ φιλοσοφίαν εἰσακτέον τὸ κατ' 20
25 αὐτὴν χρειῶδες, ὡς αὐτόθεν ἐστὶ συμφανές. λείπεται ἄρα
τῷ καθ' ἁρμονίαν τὸν κόσμον διοικεῖσθαι ἢ τῷ ἠθο-
ποιοῖς μέλεσι κεχρῆσθαι χρειώδη πρὸς εὐδαιμονίαν λέ-
γειν αὐτὴν τυγχάνειν. ὧν τὸ μὲν τελευταῖον ἤδη (§ 28)

**§ 33** cf. Philod. de mus. p. 63, 33 K. || **34** *ἀκολασίαν* cf. Philod. de mus. p. 78, 28 K. || **36** *λείπεται* cf. Philod. de mus. p. 100 col. 30 K.

**4** *εἴ γε δελφ.* dub. Bekk. Bury || **8** *ἡδόμεθα* edd.: *ἢ δεόμεθα* G || **11** ⟨ ⟩ Heintz | *ἀντιλαμβανόμενοι* G: corr. Heintz || **12** *τοῦ δὲ πλεῖον ἡστικοῦ πάθους μηδὲν κερδαίνοντος* Bury | *κερδαίνοντες* G: corr. Heintz || **21** *δ'* Bekk. || **23** *κατ' αὐτὰ* ELVr | ⟨ ⟩ dub. Bekk. || **26** *τῷ* ante *καθ'* edd.: *τὸ* G || **27** *χρειώδης* ς || **27. 28** *αὐτὴν λέγειν* ELVr

755

25 διαβέβληται ὡς οὐχ ὑπάρχον ἀληθές, τὸ δὲ κατὰ ἁρμο- 37
νίαν διοικεῖσθαι τὸν κόσμον ποικίλως δείκνυται ψεῦδος,
εἶτα καὶ ἂν ἀληθὲς ὑπάρχῃ, οὐδὲν τοιοῦτο δύναται πρὸς
μακαριότητα, καθάπερ οὐδὲ ἡ ἐν τοῖς ὀργάνοις ἁρμονία.
Ἀλλὰ τὸ μὲν πρῶτον εἶδος τῆς πρὸς τοὺς μουσικοὺς 5
30 ἀντιρρήσεως τοιουτότροπόν ἐστιν, τὸ δὲ δεύτερον καὶ τῶν 38
756 | τῆς μουσικῆς ἀρχῶν καθαπτόμενον πραγματικωτέρας
μᾶλλον ἔχεται ζητήσεως. οἷον ἐπεὶ ἡ μουσικὴ ἐπιστήμη
τίς ἐστιν ἐμμελῶν τε καὶ ἐκμελῶν ἐνρύθμων τε καὶ ἐκ-
ρύθμων, πάντως ἐὰν δείξωμεν ὅτι οὔτε τὰ μέλη ὑποστατά 10
5 ἐστιν οὔτε οἱ ῥυθμοὶ τῶν ὑπαρκτῶν πραγμάτων τυγχά-
νουσιν, ἐσόμεθα παρεστακότες καὶ τὴν μουσικὴν ἀνυπό-
στατον. λέγωμεν δὲ πρῶτον περὶ μελῶν καὶ τῆς τούτων
ὑποστάσεως, μικρὸν ἄνωθεν καταρξάμενοι.

## Ὅρος φωνῆς

Φωνὴ τοίνυν ἐστίν, ὡς ἄν τις ἀναμφισβητήτως ἀπο- 39
10 δοίη, τὸ ἴδιον αἰσθητὸν ἀκοῆς· καθάπερ γὰρ μόνης ὁρά- 16
σεως ἔργον ἐστὶ τὸ χρωμάτων ἀντιλαμβάνεσθαι καὶ μό-
νης ὀσφρήσεως τὸ εὐωδῶν καὶ δυσωδῶν ἀντιποιεῖσθαι
καὶ ἤδη γεύσεως τὸ γλυκέων ἢ πικρῶν αἰσθάνεσθαι,
οὕτω γένοιτ' ἂν ἴδιον αἰσθητὸν ἀκοῆς ἡ φωνή. τῆς δὲ 40
15 φωνῆς ἡ μέν τίς ἐστιν ὀξεῖα ἡ δὲ βαρεῖα, μεταφορικώ- 21
τερον ἀπὸ τῶν περὶ τὴν ἁφὴν αἰσθητῶν ἑκατέρου τούτων
λαμβάνοντος τὴν προσηγορίαν· καθάπερ γὰρ τὸ κεντοῦν
καὶ τέμνον τὴν ἁφὴν ὀξὺ προσηγόρευσεν ὁ βίος καὶ τὸ
θλάσιν ἐμποιοῦν καὶ πιέζον βαρύ, τὸν αὐτὸν τρόπον καὶ 25
20 τῆς φωνῆς τὴν μὲν οἱονεὶ τέμνουσαν τὴν ἀκοὴν ὀξεῖαν,
τὴν δὲ ὥσπερ θλῶσαν βαρεῖαν. καὶ οὐ ξένον ⟨εἰ⟩ ὥσπερ 41
φαιάν τινα καὶ μέλαιναν καὶ λευκὴν φωνὴν ἀπὸ τῶν πρὸς
τὴν ὅρασιν αἰσθητῶν κεκλήκαμεν, ὧδε καὶ ἀπὸ τῶν πρὸς

§ 41 cf. Pollux onomast. II 117

**12** *παρεστηκότες* LVrA || **16** *γὰρ* om. VC || **18** *τῶν* pro *τὸ* VC || **19** *καὶ ἤδη — αἰσθάνεσθαι* om. VC || **21** *δὲ ἀπὸ* E || **25** *θλάσιον* VC || **27** ⟨ ⟩ edd.

τὴν ἁφὴν ἐχρησάμεθά τισι μεταφοραῖς. ὅταν μὲν οὖν ἐπ' ἴσης ἐκφέρηται ἡ φωνὴ καὶ ὑπὸ μίαν τάσιν, ὡς μηδένα 25 περισπασμὸν γίνεσθαι τῆς αἰσθήσεως ἤτοι ἐπὶ τὸ βαρύτερον ἢ τὸ ὀξύτερον, τότε ὁ τοιοῦτος ἦχος φθόγγος κα-
5 λεῖται, παρὸ καὶ οἱ μουσικοὶ ὑπογράφοντές φασι

"Ορος φθόγγου

42 'φθόγγος ἐστὶν ἐμμελοῦς φωνῆς πτῶσις ὑπὸ μίαν τάσιν.' τῶν δὲ φθόγγων οἱ μέν εἰσιν ὁμόφωνοι οἱ δὲ οὐχ ὁμό- 30 φωνοι, καὶ ὁμόφωνοι μὲν οἱ μὴ διαφέροντες ἀλλήλων κατ' ὀξύτητα καὶ βαρύτητα, οὐχ ὁμόφωνοι δὲ οἱ μὴ οὕτως
43 ἔχοντες. | τῶν δὲ ὁμοφώνων, ὡς καὶ τῶν οὐχ ὁμοφώνων, 757
11 τινὲς μὲν ὀξεῖς τινὲς δὲ βαρεῖς καλοῦνται, καὶ πάλιν τῶν οὐχ ὁμοφώνων οἱ μὲν διάφωνοι προσαγορεύονται οἱ δὲ σύμφωνοι, καὶ διάφωνοι μὲν οἱ ἀνωμάλως καὶ διεσπασμένως τὴν ἀκοὴν κινοῦντες, σύμφωνοι δὲ οἱ ὁμαλώτερον καὶ 5
44 ἀμερίστως. σαφέστερον δὲ μᾶλλον ἔσται τὸ ἑκατέρου γέ-
16 νους ἰδίωμα τῇ ἀπὸ τῶν πρὸς γεῦσιν ποιοτήτων μεταβάσει χρησαμένων ἡμῶν. ὥσπερ τοίνυν τῶν γευστῶν τὰ μὲν τοιαύτην ἔχει κρᾶσιν ὥστε μονοειδῶς καὶ λείως κινεῖν τὴν αἴσθησιν, ὁποῖον τὸ οἰνόμελι καὶ ὑδρόμελι, τὰ 10
20 δὲ οὐχ ὡσαύτως οὐδὲ ὁμοίως, καθάπερ τὸ ὀξύμελι (ἑκάτερον γὰρ τούτων τῶν μιγμάτων τὴν ἴδιον ἐντυποῖ ποιότητα τῇ γεύσει), οὕτω τῶν φθόγγων διάφωνοι μέν εἰσιν οἱ ἀνωμάλως τὴν ἀκοὴν καὶ διεσπασμένως κινοῦντες, σύμφωνοι δὲ οἱ ὁμαλώτεροι. ἀλλὰ γὰρ ἡ μὲν διαφορὰ τῶν 15
45 φθόγγων τοιαύτη τίς ἐστι παρὰ μουσικοῖς· περιγράφεται
26 δέ τινα πρὸς τούτων διαστήματα, καθ' ἃ καὶ ἡ φωνὴ κινεῖται ἤτοι ἐπὶ τὸ ὀξύτερον ἀναβαίνουσα ἢ ἐπὶ τὸ βαρύτερον ἀνιεμένη. παρ' ἣν αἰτίαν κατὰ τὸ ἀνάλογον τῶν διαστημάτων τούτων τὰ μὲν σύμφωνα τὰ δὲ διάφωνα 20
46 προσηγόρευται, καὶ σύμφωνα μὲν ὁπόσα ὑπὸ συμφώνων

**§ 42 def. cf. Euclid. introd. harm. 1 p. 186, 7 Heiberg**

**13** *διεσπαρμένως* E || **16** *γεύσει* ς cod. ed. Gen. || **21** *ἐμποιεῖ* VCR: exp., in mg. *ἐντυποῖ* V, *ἐκτυκοῖ* C || **27** *ἐπὶ* post *ἢ* om. ς

757
φθόγγων περιέχεται, διάφωνα δὲ ὁπόσα ὑπὸ διαφώνων. τῶν δὲ συμφώνων διαστημάτων τὸ μὲν πρῶτον καὶ ἐλάχιστον διὰ τεσσάρων οἱ μουσικοὶ προσαγορεύουσι, τὸ δὲ
25 μετὰ τοῦτο μεῖζον διὰ πέντε, καὶ τοῦ διὰ πέντε μεῖζον τὸ διὰ πασῶν. πάλιν τε τῶν διαφώνων διαστημάτων ἐλά- 47
χιστον μέν ἐστι καὶ πρῶτον παρ' αὐτοῖς ἡ καλουμένη 6
δίεσις, δεύτερον δὲ τὸ ἡμιτόνιον, ὅ ἐστι διπλοῦν τῆς διέσεως, τρίτον ὁ τόνος, ὅς ἐστι διπλασίων τοῦ ἡμιτονίου.
30 οὐ μὴν ἀλλ' ὃν τρόπον ἅπαν διάστημα κατὰ μουσικὴν ἐν 48
φθόγγοις ἔχει τὴν ὑπόστασιν, οὕτω καὶ πᾶν ἦθος. τὸ δ' 10
ἔστι τι γένος μελῳδίας. καθὰ γὰρ τῶν ἀνθρωπίνων ἠθῶν
758 | τινὰ μέν ἐστι σκυθρωπὰ καὶ στιβαρώτερα, ὁποῖα τὰ τῶν ἀρχαίων ἱστοροῦσιν, τὰ δὲ εὐένδοτα πρὸς ἔρωτας καὶ οἰνοφλυγίας καὶ ὀδυρμοὺς καὶ οἰμωγάς, οὕτω τὶς μὲν μελῳδία σεμνά τινα καὶ ἀστεῖα ἐμποιεῖ τῇ ψυχῇ κινήματα, 15
5 τὶς δὲ ταπεινότερα καὶ ἀγεννῆ. καλεῖται δὲ κατὰ κοινὸν ἡ 49
τοιουτότροπος μελῳδία τοῖς μουσικοῖς ἦθος ἀπὸ τοῦ ἤθους εἶναι ποιητική, καθάπερ καὶ τὸ χλωρὸν δέος τὸ χλωροποιόν, καὶ τὸ 'νότοι βαρυήκοοι ἀχλυώδεις καρηβαρικοὶ νωθροὶ διαλυτικοί' ἀντὶ τοῦ τούτων δραστικοί. 20
10 τῆς δὲ κοινῆς μελῳδίας ταύτης τὸ μέν τι χρῶμα λέγεται 50
τὸ δὲ ἁρμονία τὸ δὲ διάτονον, ὧν ἡ μὲν ἁρμονία αὐστηροῦ τινος ἤθους καὶ σεμνότητος κατασκευαστική πως ὑπῆρχεν, τὸ δὲ χρῶμα λιγυρόν τί ἐστι καὶ θρηνῶδες, τὸ δὲ διάτονον ἔντραχυ καὶ ὑπάγροικον. ἀλλὰ δὴ πάλιν τὸ 51
15 μὲν ἁρμονικὸν μέλος τῶν μελῳδουμένων ἀδιαίρετόν ἐστι, 26
τὸ δὲ διάτονον καὶ τὸ χρῶμα εἰδικωτέρας τινὰς εἶχε διαφοράς, δύο μὲν τὸ διάτονον, τήν τε τοῦ μαλακοῦ διατόνου καλουμένην καὶ τὴν τοῦ συντόνου, τρεῖς δὲ τὸ χρῶμα· τὸ μὲν γάρ τι αὐτοῦ τονικὸν καλεῖται τὸ δὲ ἡμιτόνιον τὸ δὲ 30
20 μαλακόν.

**§ 48** v. ad. § 19 || **49** *νότοι* etc. = Hippocr. aphor. 3, 5 || **50** cf. Euclid. introd. harm. 3 et 7 p. 188, 7 et 200, 26 Heiberg

**5** *διὰ πολλῶν* E || **11** *τι* om. LVr. || **13** *εὐένδοντα* VC || **20** *τοῦ* om. VC || **21** *μέντοι* ς || **23** *ὑπάρχει*, sed mg. *γρ. ὑπῆρχε* VC || **24** *τέ* VC || **27** *ἰδικωτέρας* ς || **30** an *ἡμιτονιαῖον*?: *ἡμιόλιον* Winnington-Ingram, Lustrum 1958, 3

58

52 *Πλὴν ἐκ τούτων συμφανὲς ὅτι πᾶσα ἡ κατὰ μελῳδίας θεωρία παρὰ τοῖς μουσικοῖς οὐκ ἐν ἄλλῳ τινὶ τὴν ὑπόστασιν εἶχεν εἰ μὴ ἐν τοῖς φθόγγοις. καὶ διὰ τοῦτο ἀναιρουμένων αὐτῶν τὸ μηδὲν ἔσται ἡ μουσική. πῶς οὖν καὶ* 25 5 *ἐρεῖ τις ὅτι οὐκ εἰσὶ φθόγγοι; ἐκ τοῦ φωνὴν αὐτοὺς κατὰ γένος ὑπάρχειν, φήσομεν, καὶ τὴν φωνὴν ἀνύπαρκτον ἡμῖν ἐν τοῖς σκεπτικοῖς ὑπομνήμασι δεδεῖχθαι ἀπὸ τῆς* 53 *τῶν δογματικῶν μαρτυρίας. οἵ τε γὰρ ἀπὸ τῆς Κυρήνης φιλόσοφοι μόνα φασὶν ὑπάρχειν τὰ πάθη, ἄλλο δὲ οὐδέν·* 30 10 *ὅθεν καὶ τὴν φωνὴν μὴ οὖσαν πάθος, ἀλλὰ πάθους ποιητικήν, μὴ γίγνεσθαι τῶν ὑπαρκτῶν. οἵ | γέ τοι περὶ τὸν* 759 *Δημόκριτον καὶ Πλάτωνα πᾶν αἰσθητὸν ἀναιροῦντες συναναιροῦσι καὶ τὴν φωνήν, αἰσθητόν τι δοκοῦσαν πρᾶγμα* 54 *ὑπάρχειν. καὶ γὰρ ἄλλως, εἰ ἔστι φωνή, ἤτοι σῶμά ἐστιν* 15 *ἢ ἀσώματον· οὔτε δὲ σῶμά ἐστιν, ὡς οἱ Περιπατητικοὶ* 5 *διὰ πολλῶν διδάσκουσιν, οὔτε ἀσώματος, ὡς οἱ ἀπὸ τῆς* 55 *Στοᾶς· οὐκ ἄρα ἔστι φωνή. ἄλλος δέ τις κἂν ἐκείνως ἐπιχειρήσειε λέγειν, ὡς εἰ μὴ ἔστι ψυχή, οὐδὲ αἰσθήσεις· μέρη γὰρ ταύτης ὑπῆρχον. εἰ δὲ μή εἰσιν αἱ αἰσθήσεις,* 20 *οὐδὲ τὰ αἰσθητά· πρὸς αἰσθήσει γὰρ ἡ τούτων ὑπόστα-* 10 *σις νοεῖται. εἰ δὲ μὴ αἰσθητά, οὐδὲ φωνή· εἶδος γάρ τι τῶν αἰσθητῶν ὑπῆρχεν. ἀλλὰ μὴν οὐδέν ἐστι ψυχή, καθὼς ἐν τοῖς περὶ αὐτῆς ὑπομνήμασιν ἐδείκνυμεν· οὐκ* 56 *ἄρα ἔστι φωνή. καὶ μὴν εἰ μήτε βραχεῖά ἐστι φωνὴ μήτε* 25 *μακρά, οὐκ ἔστι φωνή· οὔτε δὲ βραχεῖά ἐστιν οὔτε μακρὰ* 15 *φωνή, ὡς ἐν τοῖς πρὸς τοὺς γραμματικοὺς* (M I 124) *ὑπεμνήσαμεν, περὶ συλλαβῆς καὶ λέξεως ζητοῦντες πρὸς*

§ 52 *σκεπτ. ὑπομν.* locum M VIII 131 laudari censet Pappenheim textu ut infr. legitur emendato. probat Brochard p. 320 adn. 1 || 53 cf. M VII 191 || 54 *Περιπατ. ... Στοᾶς* v. Ps.-Plut. plac. IV 20 (p. 409, 25 Diels Doxogr.) || 55 *ὑπομνήμασιν* sec. Haas progr. Berlin 1874, 7 et Progr. Freising 1883, 23 et Brochard p. 321 opus deperditum. cf. M X 284

3 *ἔχει* ς | *ἐν* om. ELVr || 7. 8 *δεδεῖχθαι ⟨καὶ⟩ ἀπὸ τῆς τῶν δογμ. ὁμιλίας* Pappenheim || 12 *συναιροῦσι* VC || 17 *ἀλλ' ὧδέ τις κἀκείνως* G: *ἀλλ' ὡς δέ τις κἀκείνων* cod. ed. Gen.: 'alius autem quispiam illo quoquo modo' Herv.: corr. Bekk. || 19 *αὐτῆς* E || 20 *πρὸς αἰσθήσεις* VC edd.: 'ad sensus relata' Herv.

759
τούτους· οὐκ ἄρα ἔστι φωνή. πρὸς τούτοις ἡ φωνὴ οὔτε 57
ἐν ἀποτελέσματι οὔτε ἐν ὑποστάσει νοεῖται, ἀλλ' ἐν γε-
νέσει καὶ χρονικῇ παρεκτάσει· τὸ δὲ ἐν γενέσει νοούμε-
20 νον γίνεται, οὐδέπω δ' ἔστιν, ὥσπερ οὐδὲ οἰκία γινομένη
ἢ ναῦς καὶ ἄλλα παμπληθῆ εἶναι λέγεται. τοίνυν οὐθέν 5
ἐστι φωνή. καὶ ἄλλοις δὲ συχνοῖς εἰς τοῦτο ἔνεστι λόγοις 58
χρῆσθαι, περὶ ὧν, ὡς ἔφην, ἐν τοῖς Πυρρωνείοις ὑπο-
μνηματιζόμενοι διεξήειμεν. νυνὶ δὲ φωνῆς μὴ οὔσης οὐδὲ
25 φθόγγος ἔστιν, ὅς ἐλέγετο (§ 42) φωνῆς πτῶσις ὑπὸ
μίαν τάσιν· φθόγγου δὲ μὴ ὄντος οὐδὲ διάστημα μουσι- 10
κὸν καθέστηκεν, οὐ συμφωνία, οὐ μελῳδία, οὐ τὰ ἐκ
τούτων γένη. διὰ τοῦτο οὐδὲ μουσική· ἐπιστήμη γὰρ
ἐλέγετο ἐμμελῶν τε καὶ ἐκμελῶν.
30 Ὅθεν ἀπ' ἄλλης ἀρχῆς ὑποδεικτέον ὅτι κἂν τούτων 59
ἀποστῶμεν, διὰ τὴν ἐγχειρηθησομένην ἐπὶ τῆς ῥυθμο- 15
ποιίας ἀπορίαν ἀνυπόστατος καθέστηκεν ἡ μουσική. εἰ
760 | γὰρ μηδέν ἐστι ῥυθμός, οὐδὲ ἐπιστήμη τις ἔσται περὶ
ῥυθμοῦ· ἀλλὰ μὴν οὐδέν ἐστι ῥυθμός, ὡς παραστήσομεν·
οὐκ ἄρα ἔστι τις ἐπιστήμη περὶ ῥυθμοῦ. ὡς γὰρ πολ- 60
5 λάκις εἰρήκαμεν, ῥυθμὸς σύστημά ἐστιν ἐκ ποδῶν, ὁ δὲ 20
ποὺς τὸ συνεστὼς ἐξ ἄρσεως καὶ θέσεως· ἡ δὲ ἄρσις
καὶ ἡ θέσις ἐν ποσότητι χρόνου θεωρεῖται, ὧν τινὰς
μὲν ἐπεῖχεν ἡ θέσις τινὰς δὲ ἡ ἄρσις χρόνους. καθάπερ
⟨γὰρ⟩ ἐκ μὲν στοιχείων συλλαβαὶ ἐκ δὲ συλλαβῶν λέξεις
συντίθενται, οὕτως ἐκ μὲν τῶν χρόνων οἱ πόδες ἐκ δὲ 25
10 τῶν ποδῶν οἱ ῥυθμοὶ γίνονται [ἐξ ἐκείνων τὴν σύστασιν
λαμβάνοντες]. ἐὰν οὖν δείξωμεν ὅτι οὐδέν ἐστι χρόνος, 61
ἕξομεν συναποδεδειγμένον ὅτι οὐδὲ πόδες ὑπάρξουσιν, διὰ
δὲ τοῦτο οὐδὲ οἱ ῥυθμοί, ἐξ ἐκείνων τὴν σύστασιν λαμβά-

§ 57 ~ M VIII 131 || 58 *Πυρρωνείοις* opus deperditum laudari Fabr., idem atque *σκπτ. ὑπομν.* esse Haas putat. v. supr. ad § 52 || 60 *πολλάκις εἰρήκαμεν* quos ad locos hoc pertineat frustra quaeres, sed cf. M I 159 sq.

**15** *ἐγχειρισθησομένην* G: corr. Bekk. || **18** *παρεστήσαμεν* G: ci. Fabr., probat Theiler || **21.22** *ὅρος ῥυθμοῦ τί ἐστι ποὺς καὶ ἄρσις καὶ θέσις* marg. L || **24** ⟨ ⟩ Bekk. sec. Fab . || **26** *οἱ* om. ELVr || **26.27** [ ] Bekk. || **28** *ὑπάρχουσιν* ci. Bekk.

760

νοντες. ᾧ ἀκολουθήσει τὸ μηδὲ ἐπιστήμην εἶναί τινα περὶ
ῥυθμούς. πῶς οὖν; ὅτι οὐδέν ἐστι χρόνος, ἤδη μὲν παρε- 15
στήσαμεν ἐν τοῖς Πυρρωνείοις, οὐδὲν δὲ ἧττον καὶ τὰ
62 νῦν παραστήσομεν ἐπὶ ποσόν. εἰ γάρ ἐστι τι χρόνος,
5 ἤτοι πεπέρασται ἢ ἄπειρός ἐστιν. οὔτε δὲ πεπέρασται,
ἐπεὶ ἐροῦμέν ποτε γεγονέναι χρόνον ὅτε χρόνος οὐκ ἦν,
καὶ ἔσεσθαί ποτε χρόνον ὅτε χρόνος οὐκ ἔσται· οὔτε 20
ἄπειρος καθέστηκεν, ἔστι γάρ τι αὐτοῦ παρῳχηκὸς [καὶ
ἐνεστὼς] καὶ μέλλον, ὧν ἑκάτερον εἰ μὲν οὐκ ἔστιν,
10 πεπέρασται ὁ χρόνος, εἰ δ' ἔστιν, ἔσται ἐν τῷ παρόντι
καὶ ὁ παρῳχηκὼς καὶ ὁ μέλλων, ὅπερ ἄτοπον. οὐκ ἄρα
63 ἔστι χρόνος. τό γε μὴν ἐξ ἀνυπάρκτων συνεστὼς ἀνύπ- 25
αρκτόν ἐστιν· ὁ δὲ χρόνος ἔκ τε τοῦ παρῳχημένου καὶ
μηκέτ' ὄντος καὶ ἐκ τοῦ μέλλοντος μηδέπω δὲ ὄντος συν-
64 εστὼς ἀνύπαρκτος ἔσται. ἄλλως τε, εἰ μὲν ἀμερής ἐστιν
15 ὁ χρόνος, πῶς τὸ μέν τι αὐτοῦ παρῳχημένον τὸ δὲ ἐν-
εστὼς τὸ δὲ μέλλον λέγομεν; εἰ δὲ μεριστός ἐστιν, ἐπεὶ
πᾶν τὸ μεριστὸν ὑπό τινος αὐτοῦ μέρους καταμετρεῖται, 30
ὡς πῆχυς μὲν ὑπὸ παλαιστοῦ, ὁ παλαιστὴς δὲ ὑπὸ δακ-
20 τύ|λου, δεήσει καὶ αὐτὸν ὑπό τινος τῶν αὐτοῦ μερῶν 761
65 καταμετρεῖσθαι. οὔτε δὲ τῷ ἐνεστῶτι δυνατὸν καταμε-
τρεῖν τοὺς ἄλλους χρόνους, ἐπείπερ [ὁ] γινόμενος ⟨κατ' αὐ-
τοὺς⟩ [καὶ] ὁ ἐνεστὼς χρόνος ὁ αὐτὸς ἔσται [κατ' αὐτοὺς]
παρῳχημένος καὶ μέλλων, παρῳχημένος μὲν ὅτι τὸν 5
25 παρῳχημένον καταμετρεῖ χρόνον, μέλλων δὲ ὅτι τὸν μέλ-
λοντα· ὅπερ ἄτοπον. οὔτε τοίνυν τινὶ τῶν λειπομένων
δυοῖν τὸν ἐνεστῶτα καταμετρητέον. δι' ἣν αἰτίαν οὐδὲ
66 ταύτῃ λεκτέον εἶναί τινα χρόνον. πρὸς τούτοις ὁ χρόνος
τριμερής ἐστι, καὶ τὸ μὲν ἔχει παρῳχηκὸς τὸ δὲ ἐνεστὼς 10

§ **61** *Πυρρωνείοις* v. supr. ad 58 || **62** ~ M X 189—191 ~ PH III 140—141 | cf. Plat. Tim. 38 B, Arist. phys. IV 10 || **63** ~ M X 192 ~ PH III 42 || **64—65** ~ M X 193—196 ~ PH III 143 || **66** ~ M X 197 ~ PH III 144

**8.9** [ ] Heintz: conservat Bekk., sed dub. an *ἕκαστον* || **12** *ἀνυπάρκτου* mg. cod. Gen. || **20** *αὐτῶν μερῶν* marg. cod. Gen. || **22.23** correxit Heintz: **23** *ὁ* post *χρόνος* contra Htz. servavi | *ἔσται* om. ς || **26** *οὐ τοίνυν* G: corr. Bury || **29** et p. 177, 2. 6 *ἐνεστός* E

761

*τὸ δὲ μέλλον, ὧν τὸ μὲν παρῳχημένον οὐκέτι ἔστιν, τὸ δὲ μέλλον οὔπω ἔστιν, τὸ δὲ ἐνεστὼς ἤτοι ἀμερές ἐστιν ἢ μεριστόν. ἀλλ' ἀμερὲς μὲν οὐκ ἂν εἴη· ἐν ἀμερεῖ μὲν γὰρ οὐδὲν δύναται γίνεσθαι μεριστόν, ὥς φησι Τίμων* 15 (fr. B 76 Diels PPF), *οἷον τὸ γίνεσθαι, τὸ φθείρεσθαι.* 5 *καὶ ἄλλως, εἴπερ ἀμερές ἐστι τὸ ἐνεστὼς τοῦ χρόνου,* 67 *οὔτε ἀρχὴν ἔχει ἀφ' ἧς ἄρχεται, οὔτε πέρας ἐφ' ὃ καταλήγει, διὰ δὲ τοῦτο οὐδὲ μέσον· καὶ οὕτως οὐκ ἔσται ὁ ἐνεστὼς χρόνος. εἰ δὲ μεριστός ἐστιν, εἰ μὲν εἰς τοὺς μὴ* 20 *ὄντας χρόνους μερίζεται, οὐκ ἔσται χρόνος, εἰ δ' εἰς τοὺς* 10 *ὄντας χρόνους, οὐκ ἔσται ὅλος ὁ χρόνος, ἀλλὰ τῶν μερῶν αὐτοῦ τινὰ μὲν ἔσται τινὰ δὲ οὐκ ἔσται. τοίνυν οὐδέν ἐστι χρόνος, διὰ δὲ τοῦτο οὐδὲ πόδες, οὐδὲ ῥυθμοί, οὐδ' ἡ περὶ τοὺς ῥυθμοὺς ἐπιστήμη.*

*Τοσαῦτα πραγματικῶς καὶ πρὸς τὰς τῆς μουσικῆς* 68 25 *εἰπόντες ἀρχὰς ἐν τοσούτοις τὴν πρὸς τὰ μαθήματα δι-* 16 *έξοδον ἀπαρτίζομεν.*

§ 67 ~ M X 198—200

7 *ἐφ* ᾧ Gen. Fabr. || 17 *σέξτου ἐμπειρικοῦ πρὸς μουσικούς* (*τέλος* B) LVrς